




ΞΕΝΟΦΩΝΤΟΣ

ΚΥΡΟΥ ΠΑΙΔΕΙΑΣ

ΒΙΒΛΙΑ ΟΚΤΩ.

XENOPHONTIS

DE CIRI INSTITUTIONE

LIBRI OCTO.

EX RECENSIONE ET CUM NOTIS
THOMÆ HUTCHINSON, A. M.

PUBLISHED AND SOLD BY H. COWPERTHWAIT,
No. 15 North Front-street,
PHILADELPHIA.

1828.

J. W. H

LECTORIS.

TRIENNIUM jam exactum est, ex quo XENOPHONTEA hæc Cyri M. Historia Græcè et Latinè, varióque observationum cultu exornata, publicam in lucem è prelo prodiit OXONIENSI. Cùm verò istius quidem editionis exemplaria, tam propter eorum penuriam, quàm adparatûs universi magnificentiam jam magno veneant, juventutísque adeò studiosæ manibus ferè denegata sint; visum est, ad fidem ejus, novam hanc editionem ità formare, ut et comparari commodè et tractari possit. Hunc in finem, textum, versionem, notas denique typis excudi minoribus, minorique adeò totum Opus exhiberi formâ curavimus. Dissertationes etiam editioni Oxoniensi præmissas, eidémque adjunctum vocabulorum Orientalium Indicem eo omisimus consilio, ut isti simul editioni salva sua constaret præstantia, ac mole voluminis decrescente, pretium unà decresceret. Tres tamen adjecti sunt Indices: quorum primus voces, ad rem quæ spectant militarem, expositione auctas: secundus res memorabiles, servato literarum ordine, complectitur: tertius loca Novi Testamenti à Xenophonte lucem fœnerantia dat. Vale, Lector amice, curísque nostris fave.

Anno Domini, 1737.

ΞΕΝΟΦΩΝΤΟΣ

ΚΥΡΟΥ ΠΑΙΔΕΙΑΣ Α'.

ΕΝΝΟΙΑ [a] ποθ' ἡμῖν ἐγένετο, ὅσαι δημοκρατίαι κατελύθησαν ὑπὸ τῶν ἄλλως πως βουλομένων πολιτεύεσθαι μᾶλλον ἢ ἐν δημοκρατίᾳ· ὅσαι τ' αὖ μοναρχίαι, ὅσαι τε ὀλιγαρχίαι, ἀνῄρηνται ἤδη ὑπὸ δήμων· καὶ ὅσοι τυραννεῖν ἐπιχειρήσαντες, οἱ μὲν αὐτῶν ϗ ταχὺ πάμπαν κατελύθησαν, οἱ δὲ, κἂν ὁποσονοῦν χρόνον ἄρχοντες διαγένωνται, θαυμάζονται ὡς σοφοί τε ϗ εὐτυχεῖς ἄνδρες γεγενημένοι· Πολλοὺς δ' ἐδοκοῦμεν καταμεμαθηκέναι, καὶ ἐν ἰδίοις οἴκοις τοὺς μὲν, ἔχοντας καὶ πλείονας οἰκέτας, τοὺς δὲ, καὶ πάνυ ὀλίγους, ϗ ὅμως οὐδὲ τοῖς ὀλίγοις τούτοις πάντη δυναμένους χρῆσθαι πειθομένοις τοὺς δεσπότας. Ἔτι [b] δὲ πρὸς τούτοις ἐνενοοῦμεν, ὅτι ἄρχοντες μέν εἰσι ϗ οἱ βουκόλοι τῶν βοῶν,

SUBIIT aliquando nos cogitatio, quot democratiæ ab iis eversæ fuerint, qui alio quodam reipublicæ statu, potiùs quàm populari, uti vellent; quotque item monarchiæ, quotque oligarchiæ, à populo jam sublatæ: et quot tyrannidem adgressi, eorùm alii quidem vel statim prorsùs sint *de imperio* dejecti, alii verò, si modò imperium, quantumcunque id *tandem* fuerit ad tempus, retinere valuerint, in admiratione sint, tanquam qui et sapientes fuerint et felices viri. Quin et multos animadvertisse videbamur, quorum alii quidem in privatis ædibus famulos vel complures, alii verò perpaucos haberent; cùm tamen iidem domini ne his quidem paucis in omnibus possent uti obedientibus. Ad hæc autem cogitabamus, et bubulcis in boves, et in equos illis, qui eos pascunt, esse imperium,

a Ἔννοιά ποθ', &c.] Eo consilio proœmium hoc adornavit Xenophon, ut Cyrum virtute, tam bellicâ quàm civili, instructissimum exhiberet. Imperandi artem esse quiddam longè difficillimum, alia atque alia civitatum Græcarum fata multiplici docuerunt exemplo. Erat ergo Cyri propria quædam laus, quòd eam penitùs intellexit, et feliciter exercuit: dum quanto major operi accesserit difficultas, tanto uberior illi constiterit gloria.

b Ἔτι δὲ πρὸς, &c.] Ab imperatorio ad pastorale munus apta satis transitio, Homero scriptoribusque Orientalibus perquàm familiaris. Quæ quidem et simplicitati dictionis, quam in Xenophonte nulli non deamârunt, et verbis, quibus Cyrum, l. viii, p. 581, usum facit, adprimè est consentanea, παραπλήσια ἔργα εἶναι νομέως ἀγαθοῦ ϗ βασιλέως ἀγαθοῦ.

καὶ οἱ ἱπποφορβοὶ τῶν ἵππων, καὶ πάντες δὲ οἱ καλούμενοι νομεῖς, ὧν ἂν ἐπιστατῶσι ζώων εἰκότως ἂν ἄρχοντες τούτων νομίζοιντο· πάσας τοίνυν ταύτας τὰς ἀγέλας ἐδοκοῦμεν ὁρᾷν μᾶλλον ἐθελούσας πείθεσθαι τοῖς νομεῦσιν, ἢ τοὺς ἀνθρώπους τοῖς ἄρχουσι. Πορεύονταί τε γὰρ αἱ ἀγέλαι οἷ ἂν αὐτὰς εὐθύνωσιν οἱ νομεῖς, νέμονταί τε χωρία ἐφ' ὁποῖα ἂν αὐτὰς ἐφιῶσιν, ἀπέχονταί τε ὧν ἂν αὐτὰς ἀπείργωσι· καὶ τοῖς καρποῖς τοίνυν, τοῖς γιγνομένοις ἐξ αὐτῶν, ἐῶσι τοὺς νομέας χρῆσθαι οὕτως, ὅπως ἂν αὐτοὶ βούλωνται. Ἔτι τοίνυν οὐδεμίαν πώποτε ἀγέλην ᾐσθόμεθα συστᾶσαν ἐπὶ τοὺς νομέας, οὔτε ὡς μὴ πείθεσθαι, οὔτε ὡς μὴ ἐπιτρέπειν τῷ καρπῷ χρῆσθαι· ἀλλὰ καὶ χαλεπώτεραί εἰσιν αἱ ἀγέλαι πᾶσι τοῖς ἄλλοις, ἢ τοῖς ἄρχουσί τε αὐτῶν, καὶ ὠφελουμένοις ὑπ' αὐτῶν· ἄνθρωποι δὲ ἐπ' οὐδένας μᾶλλον συνίστανται, ἢ ἐπὶ τούτους οὓς ἂν αἴσθωνται ἄρχειν αὐτῶν ἐπιχειροῦντας. Ὅτε μὲν δὴ ταῦτα ἐνεθυμούμεθα, οὕτως ἐγινώσκομεν περὶ αὐτῶν, ὡς [a] ἀνθρώπῳ πεφυκότι πάντων τῶν ἄλλων ζώων εἴη ῥᾷον ἢ ἀνθρώπων ἄρχειν. Ἐπειδὴ δὲ ἐνενοήσαμεν ὅτι Κῦρος ἐγένετο Πέρσης, ὃς παμπόλλους μὲν ἀνθρώπους ἐκτήσατο πειθομένους αὐτῷ, παμπόλλας δὲ πόλεις, πάμπολλα δὲ ἔθνη, ἐκ τούτου δὴ ἠναγκαζόμεθα [b] μετανοεῖν, μὴ

omnésque adeò pastores qui vocantur, posse eorum, quibus præsint, animalium dominatores jure existimari: atque videre videbamur greges hosce omnes libentiùs pastoribus parere, quàm principibus suis homines. Greges enim illi et pergunt quocunque eos pastores dirigant, et per ea pascuntur loca, in quæ eos dimittant, et ab iis abstinent, à quibus eos arceant: quinetiam fructibus, qui ex eis proveniunt, pastores ità ut ipsi voluerint, uti sinunt. Jam verò nullum unquam gregem adversùs pastores coivisse accepimus, quò vel minùs eis pareret, vel fructu uti non permitteret: imò etiam omnibus aliis infestiores sunt greges, quàm iis, qui et in eos imperium habent, et ex iis capiunt commoda: homines verò contra nullos magìs consurgunt, quàm quos imperium in se moliri senserint. Hæc igitur cùm in animo versaremus, ità de iis statuimus, eâ esse hominem naturâ, ut faciliùs illi sit aliis omnibus animantibus, quàm hominibus, imperare. Sed postquam cogitavimus, Cyrum exstitisse Persam, qui permultos quidem homines, permultas civitates, permultasque nationes sibi habuerit obsequentes, tum verò mutatâ sententiâ coacti sumus existi-

a Ὡς ἀνθρώπῳ πεφυκότι] Eam sc. esse humanæ naturæ conditionem—ut Stephanus hanc phrasim interpretatus est: sive, Hominem ità esse à naturâ comparatum, ut facilius, &c.

b Μετανοεῖν] Propriè est *Sententiam mutare, aliter, quàm anteà, judicare*; adeóque, cùm μετάνοια ipsa nihil aliud sonet, quàm *mutatio sententiæ*, observare libet Anglicanos interpretes apostoli verba, Heb. xii, 17. οὐχ εὗρε τόπον μετανοίας, minùs rectè reddidisse. Ibi enim vox μετάνοια non pœnitentiam, quasi Esavo denegatam, sed Isaaci retractationem frustrà quæsitam, denotat: ut hic sit loci sensus, Esavi neque precibus neque lachrymis Isaacum permoveri potuisse, ut quæ modò Jacobo promiserat, ea jam beneficia in ipsum transferenda revocaret.

οὔτε τῶν ἀδυνάτων, οὔτε τῶν χαλεπῶν ἔργων ᾖ τὸ ἀνθρώπων ἄρχειν, ἤν τις ἐπιςαμένως τοῦτο πράττῃ. Κύρῳ γοῦν ἴσμεν ἐθελήσαντας πείθεσθαι, τοὺς μὲν, ἀπέχοντας παμπόλλων ἡμερῶν ὁδὸν, τοὺς δὲ, καὶ μηνῶν, τοὺς δὲ, οὐδ' ἑωρακότας πώποτε αὐτὸν, τοὺς δὲ, καὶ εὖ εἰδότας ὅτι οὐδ' ἂν ἴδοιεν· καὶ ὅμως ἤθελον αὐτῷ ὑπακούειν. Καὶ γάρ τοι τοσοῦτον διήνεγκε τῶν ἄλλων βασιλέων, καὶ τῶν πατρίους ἀρχὰς παρειληφότων, καὶ τῶν δι' ἑαυτῶν κτησαμένων. ὥςε ὁ μὲν Σκύθης, καίπερ παμπόλλων ὄντων Σκυθῶν, ἄλλου μὲν οὐδενὸς δύναιτ' ἂν ἔθνους ἐπάρξαι, ἀγαπῴη δ' ἂν εἰ τοῦ ἑαυτοῦ ἔθνους ἄρχων διαγένοιτο· καὶ ὁ Θρᾷξ Θρᾳκῶν, καὶ ὁ Ἰλλυριὸς Ἰλλυριῶν· καὶ τἄλλα δὲ ὡσαύτως ἔθνη ἀκούομεν· τὰ γοῦν ἐν τῇ Εὐρώπῃ ἔτι καὶ νῦν αὐτόνομα εἶναι λέγεται, καὶ λελύσθαι ἀπ' ἀλλήλων. Κῦρος δὲ παραλαβὼν ὡσαύτως καὶ τὰ ἐν τῇ Ἀσίᾳ ἔθνη αὐτόνομα ὄντα, ὁρμηθεὶς σὺν ὀλίγῃ Περσῶν ςρατιᾷ, [a] ἑκόντων μὲν ἡγήσατο Μήδων, ἑκόντων δὲ Ὑρκανίων· κατεςρέψατο δὲ Σύρους, Ἀσσυρίους, Ἄραβας, Καππαδόκας, Φρύγας ἀμφοτέρους, Λυδοὺς, Κᾶρας, Φοίνικας, Βαβυλωνίους· ἦρξε δὲ καὶ Βακτρίων καὶ Ἰνδῶν, καὶ Κιλίκων· ὡσαύτως δὲ Σακῶν καὶ Παφλαγόνων, καὶ [b] Μα-

mare, quod imperare hominibus neque in impossibilium sit neque difficilium factu numero, modò quis peritè id agat. Cyro certè quidem novimus libenter paruisse alios, qui complurium dierum, alios qui etiam mensium, iter ab eo distarent, alios item, qui nullo unquam tempore illum adspexerant, alios demum, qui benè noverint nè fore quidem ut viderent; ac nihilominus tamen ei obedire voluerunt. Is etenim usque adeò cæteris regibus antecelluit, tum iis qui paternos principatus accepissent, tum iis qui ipsi per se acquisivissent, ut Scytha quidem, quamvis permagnus sit Scytharum numerus, nullam aliam gentem ditioni suæ subjicere possit, satis verò sibi ducat, si in suum imperium tenere perseveret: et Thrax in Thracas, et Illyricus in Illyricos; quod ipsum de reliquis itidem nationibus audimus: nam in Europâ quidem gentes etiam nunc suis aiunt legibus vivere, et minimè consociatas esse: Cyrus autem, cùm nationes Asiæ suis similiter legibus utentes accepisset, cum exiguâ Persarum manu profectus, Mediis Hyrcaniisque non invitis præfuit: subegit verò Syros, Assyrios, Arabas, Cappadocas, Phrygas utrosque, Lydos, Caras, Phœnices, Babylonios: imperavit etiam et Bactriis et Indis et Cilicibus; et Sacis itidem et Paphlagonibus et Mariandynis, aliisque compluribus gen-

a Ἑκόντων μὲν ἡγήσατο Μήδων, ἑκόντων δὲ Ὑρκανίων] Partic. δὲ, præcedente μὲν sæpè solam copulandi vim habet, atque ità in pluribus ejusdem periodi membris adhiberi solet. Exemplorum tanta est in uno Xenophonte copia, ut, omnia proferre, hominis esset otio suo et lectoris patientiâ intemperanter abutentis. Hoc igitur semel monuisse sit satis. Consimilis harum particularum occurrit usus, Jud. 8, σάρκα μὲν μιαίνουσι, κυριότητα δὲ, &c. Notandum etiam est, Xenophontem hic copiosè narrare regni illius amplitudinem, quod Cyro dedisse Deum traditum est. 2 Chron. xxxvi, 23. Esd. i, 2.

b Μαριανδυνῶν] Libet populum hunc diù nimis exulantem, suam tandem in sedem reducere. Quod feci, jure factum osten-

ριανδυνῶν, καὶ ἄλλων δὲ παμπόλλων ἐθνῶν, ὧν οὐδ' ἂν τὰ ὀνόματα ἔχοι τις εἰπεῖν. Ἐπῆρξε δὲ καὶ Ἑλλήνων τῶν ἐν τῇ Ἀσίᾳ, καταβὰς δὲ ἐπὶ θάλατταν, καὶ Κυπρίων καὶ Αἰγυπτίων. Καὶ τοίνυν τούτων τῶν ἐθνῶν ἦρξεν οὔθ' ἑαυτῷ ὁμογλώττων ὄντων, οὔτε ἀλλήλοις· καὶ ὅμως ἠδυνήθη ἐφικέσθαι μὲν ἐπὶ τοσαύτην γῆν τῷ [a] ἀφ' ἑαυτοῦ φόβῳ, ὥστε καταπλῆξαι πάντας, καὶ μηδένα ἐπιχειρεῖν αὐτῷ· ἐδυνήθη δὲ ἐπιθυμίαν ἐμβαλεῖν τοσαύτην τοῦ πάντας αὐτῷ χαρίζεσθαι, ὥστε ἀεὶ τῇ αὐτοῦ γνώμῃ ἀξιοῦν κυβερνᾶσθαι. Ἀνηρτήσατο δὲ τοσαῦτα φῦλα, ὅσα καὶ διελθεῖν ἔργον ἐστὶν, ὅποι ἂν ἄρξηταί [b] τις πορεύεσθαι ἀπὸ τῶν βασιλείων, ἤν τε πρὸς ἕω, ἤν τε πρὸς ἑσπέραν, ἤν τε πρὸς ἄρκτον, ἤν τε πρὸς μεσημβρίαν. Ἡμεῖς μὲν δὴ, ὡς ἄξιον ὄντα θαυμάζεσθαι τοῦτον τὸν ἄνδρα, ἐσκεψάμεθα τίς ποτε ὢν γενεὰν, καὶ ποίαν τινὰ φύσιν ἔχων, καὶ ποίᾳ τινὶ παιδείᾳ παιδευθεὶς, τοσοῦτον διήνεγκεν εἰς τὸ ἄρχειν ἀνθρώπων. Ὅσα οὖν καὶ ἐπυθόμεθα καὶ [c] ᾐσθῆσθαι δοκοῦμεν περὶ αὐτοῦ, ταῦτα πειρασόμεθα διηγήσασθαι.

tibus, quarum nè nomina quidem quis possit referre. Atque Græcos Asiam incolentes, Cyprios quoque et Ægyptios, cum ad mare descendisset, in potestatem suam redegit. His igitur imperavit gentibus, quibus neque cum ipso, neque inter se, lingua erat communis: et tamen potuit tantum terrarum *nominis* sui terrore pervadere, ut omnes percelleret, nemóque adversùs ipsum quidquam moliretur: ac tantum omnibus gratificandi sibi desiderium injicere valuit, ut semper ipsius arbitrio regi cuperent. Tot autem nationes *sibi* devinxit, quot vel percurrere operosum fuerit, quocunque quis ire à regiâ cœperit, sive ad orientem, sive ad occidentem, sive ad septentriones, sive ad meridiem. Nos quidem certè, cùm sit hic vir admiratione dignus, dispeximus, quo tandem genere ortus, quali præditus ingenio, quâve institutus disciplinâ, adeò in hominibus imperandis excelluerit. Quæcunque igitur de illo ot audivimus et percepisse videmur, hæc enarrare conabimur.

dunt, Ptolom. p. 134, Edit. Bert. Strab. p. 816 et 996, Ed. Wolf. Dionys. Perieg. v. 788. Scylax in Peripl. p. 34. Anonym. in Descrip. Pont. Eux. p. 10, Ed. Oxon. Mela, p. 23, Ed. Gron. Qui Mariandynos, non verò Megadinos vel Megadidos, inter gentes hic loci à Xenophonte memoratas, recensere solent. Et, quod omnem dubitationem tollat, Philelphus, vetere usus exemplari, *Mariandynis* in suâ versione exhibet.

a Τῷ ἀφ' ἑαυτοῦ φόβῳ] Editi quidam libri habent τῷ ἑαυτοῦ. Stephanus etiam ait se malle præpositionem illam hinc abesse. Quam tamen, cum librorum melioris notæ auctoritate, tum usitato scriptorum Atticorum stilo fretus, omnino retinendam censeo. Hic quippe præpositionis, ante genitivum eleganter redundantis, non pauca suppeditant exempla.

b Ἄρξηταί τις πορεύεσθαι] Πλεονάζειν hîc videtur ἄρξηται, ut sæpè in libris Evangelicis; ἤρξαντο ὁδὸν ποιεῖν, pro ὁδὸν ἐποίουν, Marc. ii, 23. Et, ἤρξατο αὐτοὺς ἀποστέλλειν, Marc. vi, 7.

c Ἠσθῆσθαι δοκοῦμεν] Nè quis hisce loquendi formis, ἐδοκοῦμεν καταμεμαθηκέναι, ᾐσθῆσθαι δοκοῦμεν, &c. hujus historiæ fidem elevatam putet, notandum est verba δοκεῖν, φαίνεσθαι, νομίζεσθαι, ità à Græcis adhiberi solere, ut per ea significent (non dubii quidpiam aut ambigui, non quod *videtur*, sed) quod *reverâ est*. Sic enim Ulp. ad Olynth.

Πατρὸς μὲν δὴ λέγεται ὁ Κῦρος γενέσθαι Καμβύσου, Περσῶν βασιλέως· (ὁ δὲ Καμβύσης οὗτος τοῦ Περσειδῶν γένους ἦν· οἱ δὲ Περσεῖδαι ἀπὸ Περσέως κλήζονται·) μητρὸς δὲ ὁμολογεῖται Μανδάνης γενέσθαι· ἡ δὲ Μανδάνη αὕτη Ἀστυάγους ἦν θυγάτηρ, τοῦ Μήδων γενομένου βασιλέως. Φῦναι δὲ ὁ Κῦρος λέγεται, καὶ ᾄδεται ἔτι καὶ νῦν ὑπὸ τῶν βαρβάρων, εἶδος μὲν κάλλιστος, ψυχὴν δὲ φιλανθρωπότατος, καὶ φιλομαθέστατος, καὶ φιλοτιμότατος, ὥστε πάντα μὲν πόνον ἀνατλῆναι, πάντα δὲ κίνδυνον ὑπομεῖναι τοῦ ἐπαινεῖσθαι ἕνεκα. Φύσιν μὲν δὲ τῆς ψυχῆς καὶ τῆς μορφῆς τοιαύτην ἔχων διαμνημονεύεται· ἐπαιδεύθη γε μὴν ἐν Περσῶν νόμοις. Οὗτοι δὲ δοκοῦσιν οἱ νόμοι ἄρχεσθαι τοῦ κοινοῦ ἀγαθοῦ ἐπιμελόμενοι· οὐχ ὁμοίως γὰρ ταῖς πλείσταις πόλεσιν ἄρχονται. Αἱ μὲν γὰρ πλεῖσται πόλεις ἀφεῖσαι παιδεύειν ὅπως τὶς ἐθέλοι τοὺς ἑαυτοῦ παῖδας, καὶ αὐτοὺς τοὺς πρεσβυτέρους ὅπως ἐθέλουσι διάγειν, ἐπιτάττουσιν αὐτοῖς μὴ κλέπτειν, μὴ ἁρπάζειν, μὴ βίᾳ εἰς οἰκίαν παριέναι, μὴ παίειν ὃν μὴ δίκαιον, μὴ μοιχεύειν, μὴ ἀπειθεῖν ἄρχοντι, καὶ τἄλλα τὰ τοιαῦτα ὡσαύτως· ἢν δέ τις τούτων τὶ παραβαίνῃ, ζημίας αὐτοῖς ἐπέθεσαν. Οἱ δὲ Περσικοὶ νόμοι προλαβόντες, ἐπιμέλονται ὅπως τὴν ἀρ-

Ac Cyrus quidem patre natus esse dicitur Cambyse, Persarum rege: (Cambyses autem hic Persidarum genera natus erat; at Persidæ à Perseo nomen habent:) matre verò consentitur fuisse Mandane; quæ quidem Mandane erat Astyagis, Medorum regis, filia. Fuisse autem Cyrus naturâ fertur, atque hoc etiam tempore à barbaris decantatur; specie quidem pulcherrimus, animo verò humanissimus, disciplinæ studiosissimus, et honoris cupidissimus; adeò ut laudis gratiâ laborem omnem perferret, omnéque adiret periculum. Animi certè indole ac formâ tali ornatus fuisse traditur; quinetiam secundùm Persarum leges institutus est. Hæ autem leges à curâ publici commodi initium sumere videntur: nec eodem modo, quo pleræque civitates, curam illam auspicantur. Etenim plurimæ civitates unicuique liberos suos, prout ipse voluerit, educare permittentes, atque ipsis senioribus pro arbitrio vitam agere, eis præscribunt nè furentur, nè rapiant, nè in domum aliquam vi ingrediantur, nè quem injustè percutiant, nè adulterium committant, nè magistratûs imperium detrectent, et reliqua itidem his consimilia: quòd si quis in horum aliquo delinquat, pœnas in eum statuerunt. At Persicæ leges *hoc* antevertentes, diligenter curant

1, Dem. p. 2, *τὸ δὲ νομίζειν, καὶ τὸ δοκεῖν, καὶ τὰ τοιαῦτα, οὐ πάντως ἐπὶ ἀμφιβόλου τάττουσιν οἱ παλαιοὶ ἀλλὰ πολλάκις καὶ ἐπὶ τοῦ ἀληθεύειν.* Cujus rei testimonium perhibent, Isocr. ad Dem. p. 6, Ed. Wolf. *τούτοις γὰρ ἅπασι δοκεῖ κρατεῖσθαι τὸ τῶν νεωτέρων ἦθος·* ubi, *δοκεῖ κρατεῖσθαι* ponitur pro *κρατεῖται·* et Appian. de Bell. Hisp. Edit. Steph. p. 256, *οἵπερ δ' αὐτὴν οἰκῆσαι πρῶτοι νομίζονται*, quæ rectè vertit interpres, *qui primi eam* (Hispaniam) *incoluerint*. Nec alitur apud Sacros Auctores verba ista solent intelligi; Mat. iii, 9, *μὴ δόξητε λέγειν*. Luc. viii, 18, *ὃ δοκεῖ ἔχειν*. Act. xvi, 13, *οὗ ἐνομίζετο προσευχὴ εἶναι*, pro *οὗ ἦν*.

χὴν μὴ τοιοῦτοι ἔσονται οἱ πολῖται, ὥστε πονηροῦ τινος ἔργου ἢ αἰσχροῦ ἐφίεσθαι. Ἐπιμέλονται δὲ ὧδε· Ἔστιν αὐτοῖς Ἐλευθέρα ἀγορὰ καλουμένη, ἔνθα τά τε βασίλεια καὶ τὰ ἄλλα ἀρχεῖα πεποίηται. Ἐντεῦθεν τὰ μὲν ὤνια, καὶ οἱ ἀγοραῖοι, καὶ αἱ τούτων φωναὶ καὶ ἀπειροκαλίαι ἀπελήλανται εἰς ἄλλον τόπον· ὡς μὴ μιγνύηται ἡ τούτων τύρβη τῇ τῶν πεπαιδευμένων εὐκοσμίᾳ. Διήρηται δὲ αὕτη ἡ ἀγορὰ, ἡ περὶ τὰ ἀρχεῖα, εἰς τέτταρα μέρη· τούτων δ' ἔστιν ἓν μὲν παισὶν, ἓν δὲ ἐφήβοις, ἄλλο [a] τελείοις ἀνδράσιν, ἄλλο τοῖς ὑπὲρ τὰ στρατεύσιμα ἔτη γεγονόσι. Νόμῳ δὲ εἰς τὰς ἑαυτῶν χώρας ἕκαστοι τούτων πάρεισιν, οἱ μὲν παῖδες, ἅμα τῇ ἡμέρᾳ, καὶ οἱ τέλειοι ἄνδρες· οἱ δὲ γεραίτεροι, ἡνίκ' ἂν ἑκάστῳ προχωρῇ, πλὴν ἐν ταῖς τεταγμέναις ἡμέραις, ἐν αἷς δεῖ αὐτοὺς παρεῖναι. Οἱ δὲ ἔφηβοι καὶ κοιμῶνται περὶ τὰ ἀρχεῖα σὺν τοῖς γυμνικοῖς ὅπλοις, πλὴν τῶν γεγαμηκότων· οὗτοι δὲ οὔτε ἐπιζητοῦνται, ἢν μὴ προῤῥηθῇ παρεῖναι· οὔτε πολλάκις ἀπεῖναι καλόν. Ἄρχοντες δ' ἐφ' ἑκάστῳ τούτων τῶν μερῶν εἰσι δώδεκα (δώδεκα γὰρ καὶ Περσῶν φυλαὶ διήρηνται·) καὶ ἐπὶ μὲν τοῖς παισὶν ἐκ τῶν γεραιτέρων ᾑρημένοι εἰσὶν, οἳ ἂν δοκῶσι τοὺς παῖδας βελτίστους ἂν ἀποδεικνῦναι· ἐπὶ δὲ τοῖς ἐφήβοις ἐκ τῶν τελείων ἀνδρῶν, οἳ ἂν αὐτοὺς τοὺς ἐφήβους βελτίστους δοκῶσι παρέχειν· ἐπὶ δὲ τοῖς τελείοις ἀνδράσιν, οἳ ἂν δοκῶσι παρέχειν αὐτοὺς μάλιστα τὰ

ab initio tales nè sint cives, qui pravam aliquam fœdámve rem appetant. Curant autem hoc modo: Est illis forum quòd vocatur Liberale, ubi et regia et aliæ magistratuum ædes sunt exstructæ. Hinc venalia quæque, et circumforanei atque eorum clamores et ineptiæ alium in locum sunt rejectæ; nè horum turba cum decoro illorum ordine, qui sunt instituti, misceatur. Est autem hoc ipsum forum, ad palatia situm, in quatuor partes divisum; quarum una pueris est attributa, altera ephebis, tertia viris, quarta iis, qui jam militares annos confecerint. Atque lege ad sua loca singuli horum adsunt, pueri quidem et viri, primâ luce: seniores verò, quando cuique commodum sit, exceptis diebus statutis, quibus oportet eos adesse. At ephebi cubant etiam ad palatia cum gymnicis armis, præter eos qui uxorem habent: hi autem nè requiruntur quidem, nisi denuntiatum fuerit, ut adsint; nec tamen sæpiùs abesse decorum est. Harum autem cuique partium duodecim sunt præsides (nam et in duodecim tribus Persæ sunt divisi;) et pueris quidem præsunt delecti quidam ex senioribus, qui optimos eos reddituri videantur: ephebis autem, ex viris, qui hos effecturi optimos existimentur: et viris, qui

a Τελείοις ἀνδράσιν] Quæ uno verbo reddere, cum Gabrielio, satiùs duxi, quàm periphrasi minùs propriâ uti. Eum autem τέλειον ἄνδρα dicere solent Græci, qui ad ἀκμὴν ætatis viriumque vigorem pervenit. Sensu quidem tralatitio is apostolo, Ephes. iv, 13, dicitur τέλειος ἀνὴρ, qui quod ad interiorem hominem attinet, eousque profecerit, ut mysterium fidei probè teneat, et (ut Heb v, 14) sensus habeat ad discernendum bonum à malo exercitatos.

τεταγμένα ποιοῦντας, καὶ τὰ παραγγελλόμενα ὑπὸ τῆς μεγίστης ἀρχῆς· εἰσὶ δὲ καὶ τῶν γεραιτέρων προστάται ᾑρημένοι, οἳ προστατεύουσιν, ὅπως καὶ αὐτοὶ τὰ καθήκοντα ἀποτελῶσιν. Ἃ δὲ ἑκάστῃ ἡλικίᾳ προστέτακται ποιεῖν, διηγησόμεθα, ὡς μᾶλλον δῆλον γένηται, ᾗ ἐπιμέλονται ὡς ἂν βέλτιστοι εἶεν οἱ πολῖται.

Οἱ μὲν δὴ παῖδες εἰς τὰ διδασκαλεῖα φοιτῶντες, διάγουσι μανθάνοντες δικαιοσύνην· καὶ λέγουσιν ὅτι [a] ἐπὶ τοῦτο ἔρχονται, ὥσπερ παρ' ἡμῖν οἱ τὰ γράμματα μαθησόμενοι. Οἱ δὲ ἄρχοντες αὐτων διατελοῦσι τὸ πλεῖστον μέρος τῆς ἡμέρας δικάζοντες αὐτοῖς Γίγνεται γὰρ δὴ καὶ παισὶ πρὸς ἀλλήλους, ὥσπερ ἀνδράσιν, ἐγκλήματα καὶ κλοπῆς, καὶ ἁρπαγῆς, καὶ βίας, καὶ ἀπάτης, καὶ κακολογίας, [b] καὶ ἄλλων οἵων εἰκός. Οὓς δ' ἂν γνῶσι τούτων τὶ ἀδικοῦντας, τιμωροῦνται. Κολάζουσι δὲ καὶ οὓς ἂν ἀδίκως ἐγκαλοῦντας εὑρίσκωσι. Δικάζουσι δὲ και ἐγκλήματος οὗ ἕνεκα ἄνθρωποι μισοῦσι μὲν ἀλλήλους μάλιστα, [c] δικάζονται δὲ ἥκιστα, [d] ἀχαριστίας· καὶ ὃν ἂν

eos reddituri putentur paratissimos ad ea exequenda, quæ à summo magistratu constituta fuerint et imperata: sunt etiam seniorum præsides delecti, qui ideò præsunt, ut ipsi quoque sua persolvant officia. Quæ verò cuique ætati facienda præcipiantur, enarrabimus, quò magis perspicuum fiat, qualem adhibeant curam, ut cives sint quàm optimi.

Pueri igitur ad scholas ventitantes, in justitiâ discendâ versantur; aiuntque illos hujus rei causâ venire, quemadmodùm apud nos qui literis discendis operam dant. Horum verò præsides maximam dici partem in jure dicendo consumunt. Fiunt etenim inter pueros quoque, quemadmodùm inter viros, accusationes mutuæ et de furto, et de rapinâ, et de vi, et de fraude, et de maledictione, et de aliis, uti par est. Quoscunque autem in horum aliquo deliquisse noverint, *eos* puniunt. Castigant etiam quoscunque injustè *alios* accusâsse deprehenderint. Ac judicium de eo quoque exercent crimine, cujus causâ homines quàm maximè quidem se invicem oderunt, in jus verò minimè vocant, *scilicet* ingratitudine; et quemcunque cognoverint

a Ἐπὶ τοῦτο ἔρχονται] Nimirum, ad discendam justitiam: ἐπὶ τι ἔρχεσθαι sæpè apud Xenoph. aliosque significat, *alicujus rei consequendæ aut peragendæ causâ venire.* Eâdem loquendi formulâ usus est S. Mat. c. iii. v. 7. ubi, ἐρχομένους ἐπὶ τὸ βάπτισμα———valet,———ἕνεκα τοῦ βαπτισθῆναι.

b Καὶ ἄλλων οἵων εἰκὸς]——Et de aliis minùs honestis, quæ nonnunquàm fieri verisimile est, quæque ad magistratum deferri et solent et debent.

c Δικάζονται δὲ ἥκιστα] Vulgares Editiones habent οὐχ ἥκιστα; sensu planè contrario, et (ut levissimè dicam) incommodo. Mureto monente, delemus part. οὐχ: quod Stephanus probat, et hujus loci postulat sententia. Dicit enim Xenoph. *Id Persis fuisse peculiare, quòd non tantùm (ut reliqui homines) odio haberent, sed in judicium insuper ducerent,* ἀχαριστίας *crimen.*

d Ἀχαριστίας] Quod de Persis tradit Xenoph. id Macedonibus solis tribuisse videtur Seneca, l. 3. Benef. c. 6. *Exceptâ Maced. gente, non est,* &c. Sed, meritò suspecta est hujus loci communis lectio; in quo Medorum, loco Macedonum, reponi debere contendunt Steph. et Muretus.

γνῶσι δυνάμενον μὲν χάριν ἀποδιδόναι, μὴ ἀποδιδόντα δέ, κολάζουσι καὶ τοῦτον ἰσχυρῶς. Οἴονται γὰρ τοὺς ἀχαρίστους, καὶ περὶ θεοὺς ἂν μάλιστα ἀμελῶς ἔχειν, καὶ περὶ γονέας, καὶ πατρίδα, καὶ φίλους. Ἕπεσθαι δὲ δοκεῖ μάλιστα τῇ ἀχαριστίᾳ ἡ ἀναισχυντία· καὶ γὰρ αὕτη μεγίστη δοκεῖ εἶναι ἐπὶ πάντα τὰ αἰσχρὰ ἡγεμών. Διδάσκουσι δὲ τοὺς παῖδας καὶ σωφροσύνην· μέγα δὲ συμβάλλεται εἰς τὸ μανθάνειν σωφρονεῖν αὐτοὺς, ὅτι καὶ τοὺς πρεσβυτέρους ὁρῶσιν ἀνὰ πᾶσαν ἡμέραν σωφρόνως διάγοντας. Διδάσκουσι δὲ αὐτοὺς καὶ πείθεσθαι τοῖς ἄρχουσι· μέγα δὲ καὶ εἰς τοῦτο συμβάλλεται, ὅτι ὁρῶσι τοὺς πρεσβυτέρους καὶ πειθομένους τοῖς ἄρχουσιν ἰσχυρῶς. Διδάσκουσι δὲ καὶ ἐγκρατεῖς εἶναι γαστρὸς καὶ ποτοῦ· μέγα δὲ καὶ εἰς τοῦτο συμβάλλεται, ὅτι ὁρῶσι καὶ τοὺς πρεσβυτέρους οὐ πρόσθεν ἀπιόντας γαστρὸς ἕνεκα, πρὶν ἂν ἀφῶσιν οἱ ἄρχοντες· καὶ ὅτι οὐ παρὰ μητρὶ σιτοῦνται οἱ παῖδες, ἀλλὰ παρὰ τῷ διδασκάλῳ, ὅταν οἱ ἄρχοντες σημήνωσι. Φέρονται δὲ οἴκοθεν σῖτον μὲν, ἄρτον, ὄψον δὲ, [a] κάρδαμον· πιεῖν δὲ, ἤν τις διψῇ, [b] κώθωνα, ὡς ἀπὸ τοῦ ποταμοῦ ἀρύσασθαι. Πρὸς δὲ τούτοις μανθάνουσι τοξεύειν καὶ ἀκοντίζειν· Μέχρι μὲν δὴ ἓξ ἢ ἑπτακαίδεκα ἐτῶν ἀπὸ γενεᾶς οἱ παῖδες ταῦτα πράτ-

posse referre gratiam, qui tamen non refert, hunc etiam severè admodùm puniunt. Arbitrantur enim ingratos et Deos imprimis, et parentes, et patriam, et amicos negligere. Ingrati autem animi vitium maximè comitari videtur impudentia: etenim hæc ad turpia quæque dux maxima esse videtur. Temperantiam quoque pueros docent: ad temperantiam verò discendam plurimùm id eos adjuvat, quòd ipsos etiam seniores vident totos dies temperanter vitam agere. Docent porrò eos magistratibus parere: quam item ad rem multùm confert, quòd et seniores magno studio magistratibus obtemperare cernunt. In cibo etiam ac potu continentes esse docent: ad quod item præstandum, id magnoperè conducit, quòd vident seniores ipsos non priùs ventris causâ discedere, quàm præsides eos dimiserint; quodque non apud matrem pueri, sed apud præceptorem, vescuntur, quando id eis præsides significârint. Ferunt autem domo pro cibo quidem, panem, pro obsonio, nasturtium: ad potandum verò, si quis sitiat, cothonem, ut de fluvio hauriant. Ad hæc sagittare discunt et jaculari. Et quidem ad sextum

a Κάρδαμον] Plantæ species, quæ (ut Phavorinus) apud Persas reperiri solet. Varias ejus virtutes enumerant, Cassianus Bassus Geoponic. l. 12. c. 27. Ed. Cant. Dioscorid. l. 2. c. 115. Plin. Hist. Nat. l. 20. c. 13. Unam tamen non attigerunt, quæ hic præcipuè venit notanda, quæque à Suidâ his verbis memorata est; Ἐπισχετικὰ οὔρων τὰ κάρδαμα καὶ πτύσματος. Καὶ διὰ τοῦτό φασι Πέρσας χρῆσθαι· φυλάττονται γὰρ πολλὰ πτύειν, καὶ οὐρεῖν, καὶ ἀπομύττεσθαι. Hanc siccandi vim ei quoque tribuit Phavorinus.

b Κώθωνα] Poculum fictile, propriè Laconicum et militare; cujus formam referebat id, quo utebantur Persæ; ideòque apud Xenophontem eodem, quo Laconicum illud, venit nomine. Quoad formam verò (quantum quidem ex Plutarch. Tom. i. p. 45. Ed. Par. Jul. Poll. l. vi. c. 16. Athen. δειπν. ib. xi. c. 10. Phavor. et Hesych. colligere licet) altior paulò erat, unam ansam habens et ἄμβωνας; id est, cujus non rectà assurgunt latera, sed protuberant.

τουσιν· ἐκ τούτου δὲ [a] εἰς τοὺς ἐφήβους ἐξέρχονται. Οὗτοι δ' αὖ οἱ ἔφηβοι διάγουσιν ὧδε·

Δέκα ἔτη, ἀφ' οὗ ἂν ἐκ παίδων ἐξέλθωσι, κοιμῶνται μὲν περὶ τὰ ἀρχεῖα, ὥσπερ προείρηται, καὶ φυλακῆς ἕνεκα τῆς πόλεως καὶ σωφροσύνης· (δοκεῖ γὰρ αὕτη ἡ ἡλικία μάλιστα ἐπιμελείας δεῖσθαι) παρέχουσι δὲ καὶ τὴν ἡμέραν ἑαυτοὺς μάλιστα τοῖς ἄρχουσι χρῆσθαι, ἤν τι δέωνται ὑπὲρ τοῦ κοινοῦ· καὶ ὅταν μὲν δέῃ, πάντες μένουσι περὶ τὰ ἀρχεῖα· ὅταν δὲ ἐξίῃ βασιλεὺς ἐπὶ θήραν, ἐξάγει τὴν ἡμίσειαν τῆς φυλακῆς· ποιεῖ δὲ τοῦτο πολλάκις τοῦ μηνός. Ἔχειν δὲ δεῖ τοὺς ἐξιόντας τόξα, παρὰ τὴν φαρέτραν, καὶ ἐν κολεῷ [b] κοπίδα ἢ σάγαριν· ἔτι δὲ καὶ γέρρον, καὶ παλτὰ δύο, ὥστε τὸ μὲν ἀφιέναι, τῷ δ', ἂν δέῃ, ἐκ χειρὸς χρῆσθαι. Διὰ τοῦτο δὲ δημοσίᾳ τοῦ θηρᾷν ἐπιμέλονται, καὶ βασιλεὺς, ὥσπερ καὶ ἐν πολέμῳ, ἡγεμὼν αὐτοῖς ἐστι, καὶ αὐτός τε θηρᾷ, καὶ τῶν ἄλλων ἐπιμελεῖται ὅπως ἂν θηρῷεν, ὅτι ἀληθεστάτη δοκεῖ αὕτη ἡ [c] μελέτη τῶν πρὸς τὸν πόλεμον εἶναι. Καὶ γὰρ πρωῒ ἀνίστασθαι ἐθίζει, καὶ ψύχη καὶ θάλπη ἀνέχεσθαι· γυμνάζει δὲ καὶ ὁδοιπορίαις καὶ δρόμοις· ἀνάγκη δὲ καὶ τοξεῦσαι θηρίον, καὶ ἀκοντίσαι ὅπου ἂν παραπίπτῃ. Καὶ τὴν

septimùmve ac decimum ætatis annum hæc agunt pueri: ex eo autem tempore ad ephebos abeunt. Hi rursùs ephebi hoc modo degunt:

Decem annis, postquam ex pueris excesserint, cubant quidem circa palatia, quemadmodum jam dictum est, cùm civitatis custodiendæ, tum exercendæ temperantiæ gratiâ: (videtur enim hæc ætas potissimùm curâ indigere) ac interdiu etiam magistratibus utendos se præbent, si quid agendum sit pro republicâ: et si tempus ità postulet, omnes circa palatia morantur: cùm verò rex venatum exit, id quod sæpiùs unoquoque mense facit, dimidiam custodiæ partem educit. Habeant autem exeuntes oportet arcus cum pharetrâ, ac copidem in vaginâ, vel securim: præterea scutum, et palta duo, ut et alterum emittant, et altero, si sit opus, cominùs utantur. Idcircò autem venatui publicè dant operam, et rex, perindè ac in bello, se ducem eis præstat, venatúrque ipse, et, ut alii venentur, curam adhibet, quòd videtur hæc verissima esse bellicæ disciplinæ exercitatio. Etenim assuefacit diluculò surgere, et frigora calorésque perferre; itineribus quoque exercet atque cursu; necessarium etiam est feram, ubicunque occurrerit sagittâ, jaculóque petere. Sæpè etiam acui animum in venatione necesse est, cùm

a Εἰς τοὺς ἐφήβους ἐξέρχονται] Sc. ἐκ τῶν παίδων. Eâdem ellipsi utitur Apost. 2 Cor. ii. 13. ἐξῆλθον εἰς Μακεδονίαν, pro ἐξῆλθον ἐκ Τρωάδος, ϗ ἀπῆλθον εἰς Μακεδονίαν, ut Joh. iv. 43. ἐξῆλθεν ἐκεῖθεν ϗ ἀπῆλθεν εἰς τὴν, &c.

b Κοπίδα, ἢ σάγαριν· ἔτι δὲ ϗ γέρρον, ϗ παλτὰ] De his omnibus vide indicem vocabulorum militarium.

c Η μελέτη] Vox μελέτη eas omnes, sive animi sive corporis, exercitationes designare solet, quibus, quasi prælusionibus, ideò artium studiosi incubuêre, ut, cùm res postularet, egregium se in suâ quisque arte præstare posset. Timotheo itidem suam μελέτην commendans Apostolus, 1 Tim. iv. 15. verbum μελετάω à consuetudine sive agonistarum sive rhetorum, ad earum rerum curam, quæ ad animæ salutem pertinent, eleganter transfert.

ψυχὴν δὲ πολλάκις ἀνάγκη θήγεσθαι ἐν τῇ θήρᾳ, ὅταν τι τῶν ἀλκίμων θηρίων ἀνθιστῆται· παίειν μὲν γὰρ δεῖ τὸ ὁμόσε γιγνόμενον, φυλάξασθαι δὲ τὸ ἐπιφερόμενον· ὥστε οὐ ῥᾴδιον εὑρεῖν τι ἐν τῇ θήρᾳ ἄπεστι τῶν ἐν πολέμῳ παρόντων. Ἐξέρχονται δὲ ἐπὶ τὴν θήραν, ἄριστον ἔχοντες πλεῖον μὲν, ὡς τὸ εἰκὸς, τῶν παίδων, τἄλλα δὲ ὅμοιον. Καὶ θηρῶντες μὲν, οὐκ ἂν ἀριστήσαιεν· ἢν δέ τι δέῃ θηρίου ἕνεκα ἐπικαταμεῖναι, ἢ ἄλλως βουληθῶσι διατρίψαι περὶ τὴν θήραν, τὸ ἄριστον τοῦτο δειπνήσαντες, τὴν ὑστεραίαν αὖ θηρῶσι μέχρι δείπνου· καὶ μίαν ἄμφω ταύτας τὰς ἡμέρας λογίζονται, ὅτι μιᾶς ἡμέρας σῖτον δαπανῶσι. Τοῦτο δὲ ποιοῦσι τοῦ ἐθίζεσθαι ἕνεκα, ἵνα καὶ ἐάν τι ἐν πολέμῳ δεήσῃ, δύνωνται τοῦτο ποιεῖν. Καὶ ὄψον δὲ τοῦτο ἔχουσιν οἱ τηλικοῦτοι ὅ, τι ἂν θηράσωσιν· εἰ δὲ μὴ, τὸ κάρδαμον. Εἰ δέ τις αὐτοὺς οἴεται ἢ ἐσθίειν ἀηδῶς, ὅταν κάρδαμον μόνον ἔχωσιν ἐπὶ τῷ σίτῳ, ἢ πίνειν ἀηδῶς, ὅταν ὕδωρ πίνωσιν, ἀναμνησθήτω, πῶς μὲν ἡδὺ μᾶζα καὶ ἄρτος πεινῶντι φαγεῖν, πῶς δὲ ἡδὺ ὕδωρ διψῶντι πιεῖν. Αἱ δ' αὖ μένουσαι φυλαὶ διατρίβουσι μελετῶσαι τά τε ἄλλα, ἃ παῖδες ὄντες ἔμαθον, καὶ τοξεύειν καὶ ἀκοντίζειν· καὶ διαγωνιζόμενοι ταῦτα πρὸς ἀλλήλους διατελοῦσιν. Εἰσὶ δὲ καὶ δημόσιοι τούτων ἀγῶνες, καὶ ἆθλα προτίθεται· ἐν ᾗ δ' ἂν τῶν φυλῶν πλεῖστοι ὦσι δαημονέστατοι καὶ ἀνδρικώτατοι καὶ εὐπιστότατοι, ἐπαινοῦσιν οἱ πολῖται καὶ τιμῶσιν οὐ μόνον τὸν νῦν ἄρχοντα αὐτῶν, ἀλλὰ καὶ ὅστις αὐτοὺς παῖδας ὄντας ἐπαί-

valentior aliqua bestia contrà sese objecerit: ferire enim propiùs accedentem oportet, et ab irruente cavere; adeòque haud facilè invenias, quid in venatione desideretur eorum quæ fiunt in bello. Exeunt autem in venationem, prandium secum ferentes copiosius quidem, ut par est, quàm sit puerorum, alioqui simile. Ac dum venantur, nequaquam prandeant: sed si quid opus fuerit feræ causâ præstolari, aut aliter venationi immorari velint, prandium id cœnati, postridiè rursùs ad cœnam usque venantur; ambosque hos dies pro uno supputant, quòd unius diei cibum consumant. Hoc autem faciunt consuescendi causâ, ut, si quid facto opus fuerit in bello, id etiam præstare possint. Quicquid verò, qui hâc sunt ætate, venando ceperint, id hi obsonium habent; sin minùs, nasturtium. Si quis autem eos existimat injucundè edere, cùm nasturtium solum adhibeant ad panem, vel bibere injucundè cùm aquam potent, recordetur is, qùam suavis sit maza panisque ei qui esuriens edit, et quàm dulcis sit aqua ei qui sitiens bibit. Ac tribus quæ domi manent operam consumunt tum in cæteris artibus, quas pueri didicerunt, colendis, tum in sagittis jaculisque mittendis; atque in his summâ contentione assiduè se exercent. Sunt etiam publica horum certamina, et præmia proposita: et in quacunque tribu plurimi sint peritissimi et fortissimi et fidelissimi, non modò eum, qui in præsenti eorum est præses, laude et honore afficiunt cives, sed illum etiam qui eos, dum adhuc pueri essent, in-

δεύσε. Χρῶνται δὲ τοῖς μένουσι τῶν ἐφήβων αἱ ἀρχαὶ, ἤν τι ἢ φρουρῆσαι δέησῃ, ἢ κακούργους ἐρευνῆσαι, ἢ λῃστὰς ὑποδραμεῖν, ἢ καὶ ἄλλο τι, ὅσα ἰσχύος ἢ τάχους ἔργα ἐστί. Ταῦτα μὲν δὴ οἱ ἔφηβοι πράττουσιν. Επειδὰν δὲ τὰ δέκα ἔτη διατελέσωσιν, ἐξέρχονται εἰς τοὺς τελείους ἄνδρας.

Ἀφ' οὗ δ' ἂν ἐξέλθωσι χρόνου ἐκ τῶν ἐφήβων, οὗτοι αὖ πέντε καὶ εἴκοσιν ἔτη διάγουσιν ὧδε· Πρῶτον μὲν ὥσπερ οἱ ἔφηβοι, παρέχουσιν ἑαυτοὺς ταῖς ἀρχαῖς χρῆσθαι, ἤν τι δέῃ περὶ τοῦ κοινοῦ, ὅσα φρονούντων τε ἤδη ἔργα ἐστὶ καὶ ἔτι δυναμένων. Ἢν δέ που δεήσῃ στρατεύεσθαι, τόξα μὲν οἱ οὕτω πεπαιδευμένοι οὐκέτι ἔχοντες οὐδὲ παλτὰ, στρατεύονται· τὰ δ' ἀγχέμαχα ὅπλα καλούμενα, θώρακά τε περὶ τοῖς στέρνοις, καὶ γέρρον ἐν τῇ ἀριστερᾷ, οἷόν περ γράφονται οἱ Πέρσαι ἔχοντες· ἐν δὲ τῇ δεξιᾷ μάχαιραν ἢ κοπίδα. Καὶ αἱ ἀρχαὶ δὲ πᾶσαι ἐκ τούτων καθίστανται, πλὴν οἱ τῶν παίδων διδάσκαλοι. Ἐπειδὰν δὲ τὰ πέντε καὶ εἴκοσιν ἔτη διατελέσωσιν, εἴησαν μὲν ἂν οὗτοι [a] πλεῖόν τι ἢ πεντήκοντα ἔτη γεγονότες ἀπὸ γενεᾶς· ἐξέρχονται δὲ τηνικαῦτα εἰς τοὺς γεραιτέρους ὄντας τε καὶ καλουμένους. Οἱ δ' αὖ γεραίτεροι οὗτοι στρατεύονται μὲν οὐκέτι ἔξω [b] τῆς ἑαυτῶν, οἴκοι

stituit. Utuntur verò magistratus his qui remanent ephebis, si quid vel præsidio fuerit opus, vel investigandi fuerint malefici, vel comprehendendi latrones, vel etiam aliud quidpiam eorum agendum fuerit, quæ sunt roboris aut celeritatis opera. Hæc igitur agunt ephebi. Sed postquam hos decem annos compleverint, ad viros transeunt.

A quo autem tempore ex ephebis excesserunt, hi rursùs annos quinque et viginti ità degunt: Primum quidem, quemadmodùm ephebi, magistratibus utendos se præbent, si horum quidquam postulet reipublicæ ratio, quæ per eos effici possint, qui et jam prudenti sint animo et integris adhuc viribus. Sicubi verò militatum exire oportuerit, non jam arcus, qui hâc ratione instituti sunt, nec palta in expeditione gestant; sed arma quæ ἀγχέμαχα vocantur, thoracem nimirum circa pectora, et scutum in sinistrâ, quemadmodùm Persæ pingi solent; in dextrâ, gladium vel copidem. Et magistratus quidem omnes ex his consituuntur, præterquam puerorum magistri. Ac postquam hos quinque ac viginti annos exegerint, fuerint sanè hi annos ampliùs paulo quinquaginta nati: tunc verò transeunt in eorum ordinem, qui et sunt, et appellantur, seniores. Et seniores quidem hi non ampliùs extra patriam militant, sed domi manentes, tum publica omnia tum privata ex-

a Πλεῖόν τι ἢ πεντήκοντα ἔτη γεγονότες, &c.] Ex hâc phrasi constare videtur malè, vel in optimis cæteroquin editionibus, verba ista Paulina interpuncta esse 1 Tim. v. 9. μὴ ἔλαττον ἐτῶν ἑξήκοντα γεγονυῖα. Schmidio quippe assentior, qui comma post γεγονυῖα, non ἑξήκοντα, ponendum esse statuit: quòd aliàs ἐλάττων legi oporteret. Hìc autem adverbium ἔλαττον ad γεγονυῖα, ut πλεῖον in exemplo Xenophontéo ad γεγονότες, referendum esse nil dubito.

b Ἔξω τῆς ἑαυτῶν] Supple χώρας. Nec aliud supplementum desideratur Act. xii. 20.—ἀπὸ τῆς βασιλικῆς.

δὲ μένοντες δικάζουσι τά τε κοινὰ πάντα καὶ τὰ ἴδια. Καὶ θανάτου δὲ οὗτοι κρίνουσι, καὶ τὰς ἀρχὰς οὗτοι πάσας αἱροῦνται· καὶ ἤν τις, ἢ ἐν ἐφήβοις, ἢ ἐν τελείοις ἀνδράσιν, ἐλλίπῃ τὶ τῶν νομίμων, φαίνουσι μὲν οἱ φύλαρχοι ἕκαστον, καὶ τῶν ἄλλων ὁ βουλόμενος. Οἱ δὲ γεραίτεροι ἀκούσαντες, ἐκκρίνουσιν· ὁ δὲ ἐκκριθεὶς, ἄτιμος τὸν λοιπὸν βίον διατελεῖ.

Ἵνα δὲ σαφέστερον δηλωθῇ πᾶσα ἡ Περσῶν πολιτεία, μικρὸν ἐπάνειμι· νῦν γὰρ ἐν βραχυτάτῳ ἂν δηλωθείη, διὰ τὰ προειρημένα. Λέγονται μὲν γὰρ Πέρσαι ἀμφὶ τὰς δώδεκα μυριάδας εἶναι· τούτων δ' οὐδεὶς ἀπελήλαται νόμῳ τιμῶν καὶ ἀρχῶν, ἀλλ' ἔξεστι πᾶσι Πέρσαις πέμπειν τοὺς ἑαυτῶν παῖδας εἰς τὰ κοινὰ τῆς δικαιοσύνης διδασκαλεῖα. Ἀλλ' οἱ μὲν δυνάμενοι τρέφειν τοὺς παῖδας ἀργοῦντας, πέμπουσιν· οἱ δὲ μὴ δυνάμενοι, οὐ πέμπουσιν. Οἳ δ' ἂν παιδευθῶσι παρὰ τοῖς δημοσίοις διδασκάλοις, ἔξεστιν αὐτοῖς ἐν τοῖς ἐφήβοις νεανισκεύεσθαι· τοῖς δὲ μὴ διαπαιδευθεῖσιν οὕτως οὐκ ἔξεστιν. Οἳ δ' ἂν ἐν τοῖς ἐφήβοις διατελέσωσι τὰ νόμιμα ποιοῦντες, ἔξεστι τούτοις εἰς τοὺς τελείους ἄνδρας συναυλίζεσθαι, καὶ ἀρχῶν καὶ τιμῶν μετέχειν· οἳ δ' ἂν αὖ ἐν τοῖς παισὶ μὴ διατελέσωσιν, ἢ ἐν τοῖς ἐφήβοις, οὐκ εἰσέρχονται εἰς τοὺς τελείους· οἳ δ' ἂν αὖ ἐν τοῖς τελείοις διαγένωνται ἀνεπίληπτοι, οὗτοι τῶν γεραιτέρων γίνονται. Οὕτω μὲν δὴ οἱ γεραίτεροι διὰ πάντων τῶν καλῶν ἐληλυθότες καθίστανται· καὶ ἡ πολιτεία αὕτη, ᾗ οἴονται χρώμενοι βέλτιστοι ἂν εἶναι. Καὶ νῦν δὲ ἔτι ἐμμένει μαρτυρία καὶ τῆς μετρίας διαίτης αὐτῶν,

ercent judicia. Etiam capitis supplicia decernunt illi, iidemque magistratus omnes eligunt: ac si quis, vel inter ephebos, vel inter viros, in eorum aliquo deliquerit, quæ legibus constituta sunt, tribuum præsides unumquemque deferunt, et ex aliis qui voluerit. Seniores verò, re cognitâ, ordine movent: et qui ordine motus est, reliquum vitæ tempus infamis traducit.

Ut verò clariùs pateat universa Persarum reipublicæ ratio, paulò altiùs, rem repetam; nunc enim, propter ante dicta, quàm paucissimis exponi poterit. Persæ dicuntur esse circiter centum viginti millia: horum nemo lege ab honoribus ac magistratibus arcetur, sed licet Persis omnibus ad publicas justitiæ scholas liberos suos mittere. Et quidem qui possunt liberos in otio alere, mittunt; qui non possunt, non mittunt. Iis autem, qui apud publicos magistros instituti sunt, licet inter ephebos juvenilem ætatem transigere; hâc verò ratione non edoctis interdictum est. Et qui inter ephebos continenter ea, quæ leges jubent, peregerint, his licet in virorum societatem transire, magistratuumque ac honorum esse participes: qui verò contrà vel inter pueros vel inter ephebos tempus suum non exegerint, ad virorum classem non admittuntur: qui porrò inter viros vitam reprehensioni minimè obnoxiam degerent, seniorum ii in ordinem cooptantur. Ità igitur hi constituuntur seniores, qui omnis iter honesti confecerunt: estque hæc reipublicæ ratio, quâ utentes, putant se posse optimus evadere. Quin hoc

καὶ τοῦ ἐκπονεῖσθαι τὴν δίαιταν. Αἰσχρὸν μὲν γὰρ ἔτι καὶ νῦν ἐστι Πέρσαις καὶ τὸ ἀποπτύειν, καὶ τὸ ἀπομύττεσθαι, καὶ τὸ φύσης μεστοὺς φαίνεσθαι· αἰσχρὸν δὲ ἔτι καὶ τὸ ἰόντα που φανερὸν γενέσθαι ἢ τοῦ οὐρῆσαι ἕνεκα, ἢ καὶ ἄλλου τινὸς τοιούτου. Ταῦτα δὲ οὐκ ἂν ἐδύναντο ποιεῖν, εἰ μὴ καὶ διαίτῃ μετρίᾳ ἐχρῶντο, καὶ τὸ ὑγρὸν ἐκπονοῦντες ἀνήλισκον, ὥστε ἄλλῃ ποι ἀποχωρεῖν. Ταῦτα μὲν δὴ [a] κατὰ πάντων Περσῶν ἔχομεν λέγειν· οὗ δὲ ἕνεκα ὁ λόγος ὡρμήθη, νῦν λέξομεν τὰς Κύρου πράξεις, ἀρξάμενοι ἀπὸ παιδός.

Κῦρος μὲν γὰρ μέχρι δώδεκα ἐτῶν, ἢ ὀλίγῳ πλεῖον, ταύτῃ τῇ παιδείᾳ ἐπαιδεύθη, καὶ πάντων τῶν ἡλίκων διαφέρων [b] ἐφαίνετο καὶ εἰς τὸ ταχὺ μανθάνειν ἃ δέοι, καὶ εἰς τὸ καλῶς καὶ ἀνδρείως ἕκαστα ποιεῖν. Ἐκ δὲ τούτου τοῦ χρόνου μετεπέμψατο Ἀστυάγης τὴν ἑαυτοῦ θυγατέρα, [c] καὶ τὸν παῖδα αὐτῆς· ἰδεῖν γὰρ ἐπεθύμει, ὅτι ἤκουε καλὸν κἀγαθὸν αὐτὸν εἶναι. Ἔρχεται δ' αὐτή τε ἡ Μανδάνη πρὸς τὸν πατέρα, καὶ τὸν Κῦρον τὸν υἱὸν ἔχουσα. Ὡς δὲ ἀφίκετο τάχιστα, καὶ ἔγνω ὁ Κῦρος τὸν Ἀστυάγην τῆς μητρὸς πατέρα ὄντα, εὐθὺς, οἷα δὴ παῖς φιλόστοργος ὢν φύσει, ἠσπάζετό τε αὐτὸν, ὥσπερ ἂν εἴ τις πάλαι συντεθραμμένος καὶ πάλαι φιλῶν ἀσπάζοιτο, καὶ ὁρῶν δὴ αὐτὸν


etiam tempore testimonia extant et moderati eorum victûs, et laborum, quos cibi digerendi causâ suscipiunt. Turpe enim hâc etiam tempestate apud Persas habetur exspuere, nasum emungere, et flatûs videri plenos: turpe item ducitur si quis ire quóquam conspiciatur vel meiendi, vel alîus hujusmodi rei causâ. Hæc autem facere non possent, nisi et modico uterentur victu, et humores laborando consumerint, ità ut ii aliò quopiam secederent. Et hæc quidem habemus, quæ de Persis omnibus dicamus: nunc Cyri res gestas, cujus gratiâ narratio instituta est, exponemus, à pueritiâ ejus initio sumpto.

Cyrus ad annos usque duodecim, aut paulò plus, hâc erat disciplinâ institutus, antecelluitque omnibus æqualibus tum celeriter, quæ oporteret, discendo, tum præclarè singula ac viriliter exequendo. Ex eo autem tempore filiam suam accersivit Astyages, ejusque filium: hunc enim videre percupiebat, quòd pulchrum eum esse ac bonâ præditum indole audiret. Et venit ipsa Mandane ad patrem, Cyrum quoque filium secum perducens. Et simul ac pervenisset, Cyrusque Astyagem matris patrem esse cognovisset, continuò, ut puer erat à naturâ pio erga parentes affectu, et eum amplexatus est, veluti si quis jam olim unà educatus, jamque olim amans am-

a Κατὰ πάντων Περσῶν] Eandem vim habet præpos. κατὰ 1 Cor. xv. 15. ὅτι ἐμαρτυρήσαμεν κατὰ Θεοῦ—de Deo.

b Διαφέρων ἐφαίνετο] Vide quæ suprà annotavimus de verbis φαίνεσθαι, &c. p. 6.

c Καὶ τὸν παῖδα αὐτῆς] Quem hîc παῖδα, eundem mox υἱὸν, vocat. Atque idem prorsùs sonat ista vox, Act. iii. 13. ἐδόξασε τὸν παῖδα αὐτοῦ.



ΞΕΝΟΦΩΝΤΟΣ

ΚΥΡΟΥ ΠΑΙΔΕΙΑΣ

ΒΙΒΛΙΑ ΟΚΤΩ.

XENOPHONTIS

DE CIRI INSTITUTIONE

LIBRI OCTO.

EX RECENSIONE ET CUM NOTIS
THOMÆ HUTCHINSON, A. M.

PUBLISHED AND SOLD BY H. COWPERTHWAIT,
No. 15 North Front-street,
PHILADELPHIA.

1828.

λὺν γέλωτα παρασχεῖν. Καὶ αὐτὸν δὲ τὸν Κῦρον ἐκγελάσαντα ἀναπηδῆσαι πρὸς τὸν πάππον, καὶ φιλοῦντα ἅμα εἰπεῖν, Ὦ Σάκα, ἀπόλωλας· ἐκβαλῶ σε τῆς τιμῆς· τά τε γὰρ ἄλλα, φάναι, σοῦ κάλλιον οἰνοχοήσω, καὶ οὐκ ἐκπίομαι αὐτὸς τὸν οἶνον. Οἱ γὰρ τῶν βασιλέων οἰνοχόοι, ἐπειδὰν ἐνδιδῶσι τὴν φιάλην, [a] ἀρύσαντες ἀπ' αὐτῆς τῷ κυάθῳ, εἰς τὴν ἀριστερὰν χεῖρα ἐγχεάμενοι [b] καταῤῥοφοῦσι· τοῦ δὲ, εἰ φάρμακα ἐγχέοιεν, μὴ λυσιτελεῖν αὐτοῖς. Ἐκ τούτου δὴ ὁ Ἀστυάγης ἐπισκώπτων ἔφη, Καὶ τί δὴ, ὦ Κῦρε, τὰ ἄλλα μιμούμενος τὸν Σάκαν, οὐκ ἀπεῤῥόφησας τοῦ οἴνου; Ὅτι νὴ Δί', ἔφη, ἐδεδοίκειν μὴ ἐν τῷ κρατῆρι φάρμακα μεμιγμένα εἴη. Καὶ γὰρ ὅτε εἱστίας σὺ τοὺς φίλους [c] ἐν τοῖς γενεθλίοις, σαφῶς κατέμαθον φάρμακα αὐτὸν ὑμῖν ἐγχέαντα. Καὶ πῶς δὴ, ἔφη, σὺ, ὦ παῖ, τοῦτο κατέγνως; Ὅτι νὴ Δι', ἔφη, ὑμᾶς ἑώρων καὶ ταῖς γνώμαις καὶ τοῖς σώμασι σφαλλομένους. Πρῶτον μὲν γὰρ, ἃ οὐκ ἐᾶτε ἡμᾶς τοὺς παῖδας ποιεῖν, ταῦτα αὐτοὶ ἐποιεῖτε. Πάντες μὲν γὰρ ἅμα ἐκεκράγειτε, [d] ἐμανθάνετε δὲ οὐδὲ ἓν ἀλλήλων· ᾔδετε δὲ καὶ μάλα

Atque ipse etiam Cyrus effusè ridens ad avum exiliit, simúlque eum osculans dixit, Periisti, Saca; ego te de munere dejiciam: nam et in cæteris pincernæ officio præclariùs, quàm tu, fungar, et vinum non ipse ebibam. Regum enim pincernæ, cùm phialam tradant, aliquantum vini cyatho ex eâ haustum, in sinistram manum infundentes, absorbent; eâ quidem de causâ, ut, si venenum infuderint, nihil hoc ipsis prosit. Tum verò jocari pergens Astyages inquit, Cur, Cyre, cæteris in rebus Sacam imitans, vinum non absorbuisti? Quòd profectò metueram, ait, nè venena essent in cratere mista. Etenim cùm tu amicos in natalitiis convivio exceperis, planè deprehendi venenum vobis eum infudisse. At quonam pacto, inquit ille, tu, fili, hoc intellexisti? Quòd profectò videbam, inquit, vos et mente et corpore titubare. Primùm enim, quæ nos pueros facere non sinitis, ea ipsi faciebatis. Nam omnes simul clamabatis, cùm vosmet mutuò planè non intelligeretis: quin et ridiculè admodùm canebatis; et cùm eum qui caneret

a Αρύσαντες ἀπ' αὐτῆς τῷ κυάθῳ] Quædam edit. legunt ἐπ' αυτης· malè. Κύαθος autem erat trulla ænea, quâ vinum de craterâ hauriebant: adeòque, à usu tali, ἀρυστὴρ appellatur, à Poll. T. 1. p. 575. et T. 2. p. 1239 et 1301.

b Καταῤῥοφοῦσι] Reges quippe luctuosi majorum quorundam exitus à venenis sibi metuere monuerunt. Atque Persas primos instituisse, ut ministri cibos prægustarent, Suidas tradit ad 'Εδέατρος, quod (inquit is) est ὄνομα 'Ελληνικόν· ἡ δὲ χρεία, Περσική· ἦν δὲ προγεύστης τὸ πρῶτον, καὶ προήσθιεν τοῦ βασιλέως εἰς ἀσφάλειαν.

c Εν τοῖς γενεθλίοις] Natalem sanè diem, præ cæteris, lætum festúmque transigebant Persæ. Testes sint. Herodot. in Clio, p. 55. Ed. Gronov. Ἡμέρην δὲ ἁπασέων μάλιστα ἐκείνην τιμᾷν νομίζουσι, τῇ ἕκαστος ἐγένετο. Ἐν ταύτῃ δὲ πλέω δαῖτα τῶν ἄλλων δικαιεῦσι προτίθεσθαι. Zosim. T. 3. Hist. Rom. script. Græc. min. p. 684. de Hormisdâ——τοῦ πατρὸς αὐτῷ Περσῶν βασιλεύοντος, καὶ τὴν γενέθλιον ἐπιτελοῦντος, κατὰ τὸν Περσῶν νόμον, ἡμέραν—— et Plat. in Alcib. 1. p. 121. Ed. Steph. βασιλέως γενέθλια πᾶσα θύει καὶ ἑορτάζει ἡ Ἀσία.

d Ἅμα ἐκεκράγειτε, ἐμανθάνετε δε, &c.] Calices, nimirum, fœcundiores eos nimium quantum disertos fecerant. Notandum hìc est, latiùs aliquantò patere Græcorum μανθάνειν, quàm Latinorum *discere*. Λέγουσι γὰρ, ait. Aristot. Ethic. l. 6. p.

γελοίως· οὐκ ἀκροώμενοι δὲ τοῦ ᾄδοντος, ὠμνύετε ᾄδειν ἄριστα. Λέγων δὲ ἕκαστος ὑμῶν τὴν ἑαυτοῦ ῥώμην, ἐπεὶ ἀνασταίητε ὀρχησόμενοι, μὴ ὅπως ὀρχεῖσθαι ἐν ῥυθμῷ, ἀλλ' οὐδ' ὀρθοῦσθαι ἐδύνασθε. Ἐπιλέλησθε δὲ παντάπασι, σύ τε, ὅτι βασιλεὺς ἦσθα, οἵ τε ἄλλοι, ὅτι σὺ ἄρχων. Τότε γὰρ δὴ ἔγωγε καὶ πρῶτον κατέμαθον, ὅτι τοῦτ' ἄρα ἦν ἡ ἰσηγορία, ὃ ὑμεῖς τότε ἐποιεῖτε· οὐδέποτε γοῦν ἐσιωπᾶτε. Καὶ ὁ Ἀστυάγης εἶπεν, Ὁ δὲ σὸς πατὴρ, ὦ παῖ, πίνων οὐ μεθύσκεται; Οὐ μὰ Δί', ἔφη. Ἀλλὰ πῶς ποιεῖ; [a] Διψῶν παύεται· ἄλλο δὲ κακὸν οὐδὲν πάσχει· οὐ γὰρ, οἶμαι, ὦ πάππε, Σάκας αὐτῷ οἰνοχοεῖ. Καὶ ἡ μήτηρ εἶπεν. Ἀλλὰ τί ποτε σὺ, ὦ παῖ, οὕτω τῷ Σάκᾳ πολεμεῖς; Τὸν δὲ Κῦρον εἰπεῖν, Ὅτι, νὴ Δία, φάναι, μισῶ αὐτόν· πολλάκις γάρ με πρὸς τὸν πάππον ἐπιθυμοῦντα προσδραμεῖν, οὗτος ὁ μιαρώτατος ἀποκωλύει. Ἀλλὰ ἱκετεύω, φάναι, ὦ πάππε, δός [b] μοι τρεῖς ἡμέρας ἄρξαι αὐτοῦ. Καὶ τὸν Ἀστυάγην εἰπεῖν, Καὶ πῶς δὴ ἂν ἄρξαις αὐτοῦ; Καὶ τὸν Κῦρον φάναι, Στὰς ἂν, ὥσπερ οὗτος, ἐπὶ τῇ εἰσόδῳ, ἔπειτα ὁπότε βούλοιτο εἰσιέναι ἐπ' ἄριστον, λέγοιμ' ἂν, ὅτι οὔπω δυνατὸν τῷ ἀρίστῳ ἐντυχεῖν· σπουδάζει γὰρ πρός τινας. Εἶθ' ὁπόταν ἥκῃ ἐπὶ τὸ δεῖπνον, λέγοιμ' ἂν, ὅτι λοῦται. Εἰ δὲ πάνυ σπουδάζοι

minimè audiretis, jurabatis tamen optimè canere. Et cùm quisque vestrûm robur suum prædicaret, postquam saltaturi exsurgebatis, non modò non ad numerum saltare, sed nè erecti quidem stare, poteratis. Eratisque penitùs obliti, et tu, quòd rex esses, et alii quòd tu *ipsorum* princeps. Et quidem ego tunc primùm didici, æqualitèr loquendi licentiam hoc utique esse, quòd vos eo tempore faciebatis: nunquam enim tacebatis. Et Astyages ait, At pater tuus, fili, cùm bibit, nonne inebriatur? Non profectò, inquit. Quomodo ergo agit? Sitire desinit: nec aliud quidquam mali patitur: non enim, opinor, ave, Sacas ei pocula ministrat. Ibi mater ait, Quid verò causæ est, cur Sacam usque adeò oppugnes? Quoniam profectò, inquit Cyrus, eum odi: nam me sæpiùs ad avum accurrere percupientem, impurissimus iste prohibet. Sed obsecro, te, inquit, ave, da mihi ut triduum ego imperium in ipsum exerceam. Et Astyages ait, Quânam verò ratione ei imperitares? Respondit autem Cyrus, Stans equidem, quemadmodùm iste, in aditu, deindè ubi ad prandium vellet ingredi, dicerem, nondum fieri posse ut prandio interesset: nam cum quibusdam de seriis rebus agit. Post ubi ad cœnam veniret, dicerem, quòd lavatur. Sin magno edendi desiderio tene-

267, Edit. Oxon. τὸ μανθάνειν, συνιέναι πολλάκις. Eodem ferè sensu apost. 1 Cor. iv. 31. sermonis etiam ἀταξίαν reprehendens. hoc verbo utitur; ἵνα πάντες μανθάνωσιν, *ut omnes discant*, i. e. loquentis cujusque orationem, *percipiant*, atque *intelligant*.

a Διψῶν παύεται.] Phrasis hic planè gemina, in quà participium eleganter loco infinitivi positum, occurrit, Luc. v. 4. Ὡς δὲ ἐπαύσατο λαλῶν.

b Δός μοι] *Hoc mihi beneficium concede. Fac mihi hanc potestatem.* Atque ità filii Zebedæi Christum supplices compellârunt, Marc. x. 37. Δὸς ἡμῖν, &c. Eadem notione *dare* Latinis quoque usurpatur.

φαγεῖν, εἴποιμ' ἂν, ὅτι παρὰ ταῖς γυναιξίν ἐςιν· ἕως [a] παρατείναιμι τῦτον, ὥσπερ ὗτος ἐμὲ παρατείνει, ἀπὸ σῦ κωλύων. Τοιαύτας μὲν αὐτοῖς εὐθυμίας παρεῖχεν ἐπὶ τῷ δείπνῳ· τὰς δὲ ἡμέρας, εἴ τινος αἴσθοιτο δεόμενον ἢ τὸν πάππον, ἢ τὸν τῆς μητρὸς ἀδελφὸν, χαλεπὸν ἦν ἄλλον φθάσαι τῦτο ποιήσαντα. ὅ, τι γὰρ δύναιτο ὁ Κῦρος, ὑπερέχαιρεν αὐτοῖς χαριζόμενος.

Ἐπειδὴ δὲ ἡ Μανδάνη παρεσκευάζετο ὡς ἀπιῦσα πάλιν πρὸς τὸν ἄνδρα, ἐδεῖτο αὐτῆς ὁ Ἀςυάγης καταλιπεῖν τὸν Κῦρον. Ἡ δὲ ἀπεκρίνατο, ὅτι βέλοιτο μὲν ἂν ἅπαντα τῷ πατρὶ χαρίζεσθαι, ἄκοντα μέντοι τὸν παῖδα χαλεπὸν νομίζειν εἶναι καταλιπεῖν. Ἔνθα δὴ ὁ Ἀςυάγης λέγει πρὸς τὸν Κῦρον, Ὦ παῖ, ἢν μένῃς παρ' ἐμοὶ, πρῶτον μὲν τῆς παρ' ἐμὲ εἰσόδε σοὶ ὐ Σάκας ἄρξει, ἀλλ' ὁπόταν βέλῃ εἰσιέναι ὡς ἐμὲ, ἐπί σοι ἔςαι· καὶ χάριν σοὶ, ἔφη, μᾶλλον εἴσομαι, ὅσῳ ἂν πλεονάκις εἰσίῃς ὡς ἐμέ. Ἔπειτα δὲ, ἵπποις τοῖς ἐμοῖς χρήσῃ, ϗ ἄλλοις ὁπόσοις ἂν βέλῃ· ϗ ὅταν ἀπίῃς, ἔχων ἄπει ὓς ἂν αὐτὸς ἐθέλῃς. Ἔπειτα δὲ, ἐν τῷ δείπνῳ, ἐπὶ τὸ μετρίως σοὶ δοκῦν ἔχειν, ὁποίαν βέλει ὁδὸν πορεύσῃ. [b] Ἔπειτα, τάτε νῦν [c] ἐν τῷ πα-

retur, dicerem, eum esse apud mulieres; donec hunc ego ità cruciem, ut ipse me cruciat, ab aditu ad te prohibens. Talia quidem illis oblectamenta in cœnâ præbebat: interdiù verò, si quâ re aut avum aut avunculum indigere perciperet, haud facile erat ut aliorum quisquam in eâ peragendâ ipsum anteverteret: mirificè enim lætebatur Cyrus, si quâ in re eis gratificari posset.

At cùm jam Mandane reditum ad virum suum pararet, orabat eam Astyages, Cyrum ut relinqueret. Ea verò respondit, se velle quidem patri in omnibus gratificari, veruntamen difficile esse existimare, puerum invitum relinquere. Tum verò ad Cyrum ait Astyages, O fili, si apud me manseris, primùm quidem in me adeundo Sacas tibi non imperabit, sed in tuâ erit potestate, ad me, quandocunque volueris, accedere; et quo sæpiùs accesseris, eo majorem, inquit, tibi gratiam habebo. Deindè, equis meis uteris, et aliis quotcunque volueris; et cùm abibis, duces tecum quos ipse volueris. Insuper verò, in cænâ, ad id quod intra mediocritatem consistere tibi videbitur, quamcunque libebit viam tenebis. Prætereà, et quæ

a Ἕως παρατείναιμι] Eam hujus verbi interpretationem amplector, quam Causabonus (Animad. in Athen. p. 285) affert: propriè enim (ut is) *extensionem* significat; quoniam autem tormentis corpora extenduntur, παρατείνειν solet accipi simpliciter pro *torquere*, aut quoquomodo *cruciare*.

b Ἔπειτα τάτε] Vulgò legitur, Ἐπεὶ τάτε, perperàm. Facilè quidem ultima prioris vocis syllaba excidere potuit, ob similem proximè sequentem. Series autem orationis, quæ ea continet illicia, quibus puerilem animum capi posse sperabat Astyages, ἔπειτα omnino postulat.

c Εν τῷ παραδείσῳ θηρία] Feras paradisis inclusas alere, voluptatisque simul et corporis exercendi causâ agitare, consueverunt Persarum reges. Ità Xen. Ἀναβ. l. i. p. 146, Edit. Steph. de Celænis. Ἐνταῦθα Κύρῳ βασίλεια ἦν, ϗ παράδεισος μέγας, ἀγρίων θηρίων πλήρης. ἃ ἐκεῖνος ἐθήρευεν ἀπὸ ἵππυ, ὁπότε γυμνάσαι βύλοιτο, &c. Philostrat. de Vit. Apoll. p. 46, c. xxxviii. Μέλλων δέ ποτε πρὸς θήραν γίγνεσθαι τῶν ἐν τοῖς παραδείσοις χωρίων (veriùs fortassè, θηρίων) ἐς

b Ὅτι οὐδὲν ὄφελος εἴη στρατιᾷ, &c.] Stephanus et Leuncl. στρατηγίᾳ meliùs huic loco quàm στρατιᾷ convenire putàrunt. Et huic quidem lectio in hunc modum redintegranda videbatur, τί εἴη ὄφελος στρατηγίᾳ τακτικῶν, ἄνευ τῶν ἐπιτηδείων; Ludit uterque, ut opinor, operam: dum loco minimè laboranti medicinam adferre parant. Antiqua mihi placet scriptura, apud omnes melioris notæ libros recepta, reique adeò ipsi satis consentanea. Στρατιᾷ in primis τῷ στρατηγίᾳ præferendam puto. Id enim egerat, referente Cyro, Cambyses, ut, inter cætera imperatoris officia, multiplicem exercitûs curam primum ferè locum tenere doceret; et nè minimùm quidem peritiam Tactices militibus profuturam, nisi rerum etiam necessariarum iis suppeteret copia. Imò

ἄνευ τῶν ἐπιτηδείων. Τί δ' ἄνευ τοῦ ὑγιαίνειν; Τί δ' ἄνευ τοῦ ἐπίστασθαι τὰς εὑρημένας εἰς πόλεμον τέχνας; Τί δ' ἄνευ τοῦ πείθεσθαι; Ὡς δέ μοι καταφανὲς ἐποίησας, ὅτι μικρόν τι μέρος εἴη στρατηγίας τὰ τακτικὰ, ἐπερομένου μου, εἴ τι τούτων σύ με διδάξαι ἱκανὸς εἴης, ἀπιόντα με ἐκέλευσας τοῖς στρατηγικοῖς ἀνδράσι νομιζομένοις εἶναι διαλέγεσθαι, καὶ πυνθάνεσθαι πῇ ἕκαστα τούτων γίγνεται. Ἐκ τούτου δὴ συνῆν τούτοις ἐγὼ, οὓς μάλιστα φρονίμους περὶ τούτων ἤκουον εἶναι. Καὶ περὶ μὲν τροφῆς, ἐπείσθην ἱκανὸν εἶναι ὑπάρχον, ὅ,τι Κυαξάρης ἔμελλε παρέξειν ἡμῖν· περὶ δὲ ὑγιείας, ἀκούων τε καὶ ὁρῶν ὅτι καὶ πόλεις αἱ χρῄζουσαι ὑγιαίνειν ἰατροὺς αἱροῦνται, καὶ οἱ στρατηγοὶ τῶν στρατιωτῶν ἕνεκεν ἰατροὺς ἐξάγουσιν, οὕτω καὶ ἐγὼ, ἐπεὶ ἐν τῷ τέλει τούτῳ ἐγενόμην, εὐθὺς τούτου ἐπεμελήθην· καὶ οἶμαι, ἔφη, ὦ πάτερ, πάνυ ἱκανοὺς τὴν ἰατρικὴν τέχνην ἔχειν ἄνδρας μετ' ἐμαυτοῦ. Πρὸς τοῦτο δὴ ὁ πατὴρ εἶπεν, Ἀλλ', ὦ παῖ, ἔφη, οὗτοι μὲν, οὓς λέγεις, [a] ὥσπερ ἱματίων ῥαγέντων εἰσί τινες ἀκεσταὶ, οὕτω καὶ ἰατροὶ, ὅταν τινὲς νοσήσωσι, τότε ἰῶνται τούτους· σοὶ δὲ τούτου μεγαλοπρεπεστέρα ἔσται ἡ τῆς ὑγιείας ἐπιμέλεια. τοῦ γὰρ τὴν ἀρχὴν μὴ κάμνειν τὸ στράτευμα, τούτου σοὶ δεῖ μέ-

ad victum necessariis. Quid autem absque firmâ valetudine? Quid absque illarum artium scientiâ, quæ ad belli usum sunt inventæ? Quid absque obedientiâ? Cúmque adeò perspicuum mihi fecisti, rationem aciei instruendæ exiguam quandam esse muneris imperatorii partem, atque ego rogâssem, an tu idoneus esses qui me quidpiam horum doceres, ut abirem hortatus es et illis cum viris dissererem qui rei imperatoriæ periti haberentur, *déque ipsis* percunctarer quo pacto horum singula fierent. Ex eo igitur tempore cum illis ego versatus sum, quos in primis esse harum rerum prudentes audiebam. Ac de victu quidem, mihi persuasum est satìs id futurum, quod Cyaxares nobis sit præbiturus: de bonâ verò valetudine, quòd et audirem et viderem tum civitates eas, quæ quò benè valeant operam dant, medicos eligere, tum imperatores militum gratiâ medicos educere, ità et ego, postquam mihi munus hoc mandatum fuit, statim in hujus rei curam incubui: et opinor, ait, pater viros *me* artis medicæ admodùm gnaros mecum habere. Ad hoc pater respondit, Verùm, fili, inquit, medici, quos dicis, isti quemadmodùm sunt vestium laceratarum sarcinatores quidam, ità et ipsi tum demùm, cùm aliqui in morbum inciderint, medentur iis: at ea quæ tibi incumbet bonæ valetudinis cura *eo quod exercent medici officio* præclarior erit; hoc enim tibi curæ esse oportet, nè exercitus omninò in morbos inci-

verò (ut percontando pergebat ille) Quid commodi ex memoratâ istâ peritiâ percepturi sunt ii, ni eorum saluti prospexerit imperator? Ni, &c. Confer quæ tradit Noster lib. iii. ἀπομν. p. 444.——5. Ed. Steph.

[a] Οὓς λέγεις, ὥσπερ ἱματίων ῥαγέντων, &c.] Ab hâc medicorum imagine haud multùm abludit ea, quam tradit Galenus ipse, περὶ συστάσεως ἰατρικῆς p. 172. Tit. 2. Ἔνιαι μὲν γὰρ τῶν τεχνῶν αὐτὰ τὰ πράγματα δημιουργοῦσιν, ὥσπερ αἱ κατὰ τὴν ὑφαντικὴν καὶ σκυτοτομίαν. Ἔνιαι δὲ ἐπανορθοῦνται τὰ πονήσαντα, καθάπερ αἵ τε τὰ διεῤῥωγότα τῶν ἱματίων, καὶ τὰ διεσπασμένα τῶν ὑποδημάτων συῤῥάπτουσαι

λειν. [a]Καὶ τίνα δὴ, ἔφη, ὦ πάτερ, ὁδὸν ἰὼν, τοῦτο πράττειν ἱκανὸς ἔσομαι; Ἂν μὲν δήπου χρόνον τινὰ μέλλῃς ἐν τῷ αὐτῷ μένειν, ὑγιεινοῦ δεῖ πρῶτον στρατοπέδου μὴ ἀμελῆσαι· τοῦτο δὲ οὐκ ἂν ἁμάρτοις, ἐάν περ μέλῃ σοι. Καὶ γὰρ λέγοντες οὐδὲν παύονται οἱ ἄνθρωποι περί τε τῶν νοσηρῶν χωρίων καὶ τῶν ὑγιεινῶν· μάρτυρες δὲ σαφεῖς ἑκατέροις αὐτῶν παρίστανται τά τε σώματα καὶ τὰ χρώματα. Ἔπειτα δὲ, οὐ τὰ χωρία μόνον ἀρκέσει σκέψασθαι, ἀλλὰ μνήσθητι πῶς πειρᾷ σὺ ἐπιμελεῖσθαι σεαυτοῦ, ὅπως ὑγιαίνῃς. Καὶ Κῦρος εἶπε, Πρῶτον μὲν πειρῶμαι, νὴ Δία, μηδέποτε ὑπερεμπίπλασθαι· δύσφορον γάρ· ἔπειτα δὲ ἐκπονῶ [b]τὰ εἰσιόντα· οὕτω γάρ μοι δοκεῖ ἥ τε ὑγίεια μᾶλλον παραμένειν, καὶ ἰσχὺς προσγίνεσθαι. Οὕτω τοίνυν δεῖ, ἔφη, ὦ παῖ, καὶ τῶν ἄλλων ἐπιμελεῖσθαι. Ἦ καὶ σχολὴ, ἔφη, ἔσται, ὦ πάτερ, σωμασκεῖν τοῖς στρατιώταις; Οὐ μὰ Δί', ἔφη ὁ πατὴρ, οὐ μόνον γε, ἀλλὰ καὶ ἀνάγκη. Δεῖ γὰρ δήπου στρατιὰν, εἰ μέλλει πράξειν τὰ δέοντα, μηδέποτε παύεσθαι ἢ τοῖς πολεμίοις καταπορσύνουσαν κακὰ, ἢ ἑαυτῇ ἀγαθά. Ὡς χαλεπὸν μὲν καὶ ἕνα ἄνθρωπον ἀργὸν τρέφεσθαι, πολὺ δ' ἔτι, ὦ παῖ, χαλεπώτερον οἶκον ὅλον· πάντων δὲ χαλεπώτατον στρατιὰν ἀργὸν τρέφειν. [c]Πλεῖστα γὰρ τὰ ἐσθίοντα ἐν στρατιᾷ καὶ ἀπ'

dat. Et quânam viâ, pater, ait, incedens, hoc præstare potero? Nimirum si diutiùs in eodem loco sis mansurus, primùm negligendum tibi non erit ut castra in regione ponas salubri: quod quidem facilè adsequêris, si curæ tibi fuerit. Etenim nunquam loqui desinunt homines tam de morbidis locis quàm salubribus: testes autem evidentes his utrisque adsunt, tum corpora tum colores. Deindè, regiones considerare non satis erit, sed ad memoriam revocare debes quo pacto studeas tui ipsius curam gerere, ut rectè valeas. Et Cyrus inquit, Primùm quidem, herclè, operam do nè unquam nimiùm me repleam; nam grave et molestum est: deindè qui intrârunt *cibos* laborando digero: ità enim mihi videtur et valetudo magìs permanere firma, et robur accedere. Ità igitur, fili, inquit, et aliorum curam agere oportet. Num et otium, pater, ait, militibus ad exercenda copora suppetet? Imò verò, respondit pater, non modò *otium erit*, sed etiam necessitas *id postulabit*. Nam certè oportet exercitum, si officio suo sit satisfacturus, nunquam desinere vel hostibus damna vel sibi ipsi commoda adferre. Etenim difficile est vel unum hominem otiosum ali; multò etiam difficilius, fili, est, totam familiam: omnium verò difficillimum, exercitum otiosum alere.

a Καὶ τίνα δὴ] Evangelista immeritò sanè à Grotio, ad Marc. x. 26. Καὶ τίς δύναται σωθῆναι; Hebraismis gaudere dicitur, quòd nimirum καὶ interrogativè positam exhibeat. Sic enim et Noster et οἱ ἔξω alii loqui sæpè solent.

b Τὰ εἰσιόντα] *Cibus* et *Potus* exprimuntur verbo huic affini, Marc. vii. 18. —τὸ ἔξωθεν εἰσπορευόμενον—

c Πλεῖστα γὰρ τὰ ἐσθίοντα, &c.] Longa est injuria, quam huic fecêre loco interpretes; longæ ambages, quibus ad eum explicandum, dicam? an obscurandum usi sunt. Ne te per eas fatigatum teneam, interpretationem tibi do, quam Mureto partim, partim Stephano acceptam refero. Πλεῖστα τὰ ἐσθίοντα, &c. non enim militibus tantùm cibo opus est, sed et caculis, ca-

ἐλαχίςων ὁρμώμενα, καὶ οἷς ἂν λάβῃ δαψιλέςατα χρώμενα ὥςε ὐδέποτε προςήκει ςρατιὰν ἀργεῖν. Λέγεις σὺ, ἔφη, ὦ πάτερ, ὡς ἐμοὶ δοκεῖ, ὥςπερ οὐδὲ γεωργῦ ἀργοῦ ὐδὲν ὄφελος, ὕτως ὐδὲ ςρατηγῦ ἀργῦ ὐδὲν ὄφελος εἶναι. Τὸν δέ γε ἐργάτην ςρατηγὸν ἐγὼ, ἔφη, ἀναδέχομαι (ἢν μή τις θεὸς βλάπτῃ) ἅμα καὶ τὰ ἐπιτήδεια μάλιςα ἔχοντας τὺς ςρατιώτας ἀποδείξειν, καὶ τὰ σώματα ἄριςα ἔχοντας παρασκευάσειν. Ἀλλὰ μέντοι τό γε μελετᾶσθαι, ἔφη, ἕκαςα τῶν πολεμικῶν ἔργων, ἀγῶνας ἄν τινάς μοι δοκεῖ, ὦ πάτερ, προειπὼν ἑκάςοις, καὶ ἆθλα προτιθεὶς μάλιςα ἂν ποιεῖν εὖ ἀσκεῖσθαι ἕκαςα, ὥςτε, ὁπότε δέοιτο, ἔχειν ἂν παρεσκευασμένοις χρῆσθαι. Κάλλιςα λέγεις, ἔφη, ὦ παῖ· τῦτο γὰρ ποιήσας, σάφ' ἴσθι, ὥςπερ χορὺς, τὰς τάξεις ἀεὶ τὰ προςήκοντα μελετώσας θεάσῃ. Ἀλλὰ μὴν, ἔφη ὁ Κῦρος, εἴς γε τὸ προθυμίαν ἐμβαλεῖν ςρατιώταις ὐδέν μοι δοκεῖ ἱκανώτερον εἶναι, ἢ τὸ δύνασθαι ἐλπίδας ἀγαθὰς ἐμποιεῖν ἀνθρώποις. Ἀλλ', ἔφη, ὦ παῖ, τῦτό γε τοιῦτόν ἐςιν, οἷόνπερ εἴ τις κύνας ἐν θήρᾳ ἀνακαλοῖτο ἀεὶ τῇ κλήσει, οἵαπερ ὅταν τὸ

Plurima enim sunt in exercitu quæ comedunt, quæque tenui admodum *commeatu instructa in bellum* feruntur, et quæcunque ceperint, iis largissimè utuntur: idcircò nunquam convenit exercitum esse otiosum. Dicis tu, pater, inquit, ut mihi videtur, quemadmodùm iners agricola nulli sit usui, ità et imperatorem desidem nulli esse usui. Atqui ego quidem imperatorem, ait, industrium polliceor (nisi quis deus obstet) id præstaturum ut et rebus necessariis milites abundent, et corporibus sint quàm optimè affectis. Verùm enimverò quod ad exercitationem, ait, singularum rerum bellicarum attinet, arbitror, si quis certamina quædam singulis indicat, et præmia proponat, eum maximè effecturum ut in singulis benè exercitati evadant, ità ut, ubi opus fuerit, iis paratis uti possit. Optimè dicis, fili, inquit: nam hoc si feceris, certò scias, ordines te *militum*, tanquam choros, in iis quæ officii ratio postulat semper occupatos spectaturum. At verò, inquit Cyrus, ad alacritatem militibus injiciendam nihil mihi magis idoneum esse videtur, quàm bonas posse spes in animis hominum excitare. Verùm, fili, ait, hoc sanè tale est, ac si quis in venatione canes eâdem semper inclamet voce,

lonibus, lixis, tum etiam equis, non iis modò quibus vehuntur equites, sed et iis qui sarcinas et impedimenta gestant; quæ omnia nisi alantur, certam pestem exercitui adferunt. Ideóque bonum imperatorem de commeatu et pabulo vel in primis solicitum esse oportet. Hucusque Muretus, ut videtur, rectè. Pergit: Sed fateor me non videre, quid sit, quod statim sequitur, καὶ ἀπ' ἐλαχίςων ὁρμώμενα. Nec sanè quisquam alius facilè hariolari poterit, quid ista sibi velint verba, si versiones solas consuluerit. Sed Stephanum audi; qui ἀπ' ἐλαχίςων ὁρμᾶσθαι dici hoc loco arbitratur eos, qui bellum aggrediuntur, rebus necessariis, et nominatim commeatu, minimùm instructi. Perindè ac si diceret Auctor, Quamvis magna pars bellum aggrediatur rebus ad vitam necessariis minimùm instructa, tamen cùm in eas incidit, et in potestate habet, cum nullâ parsimoniâ utitur, sed potiùs eas prodigit. Sic autem dictum erit ἀπ' ἐλαχίςων ὁρμώμενος, ut ὁρμώμενος ἀπ' ἐλασσόνων, et οὐκ ἀπὸ τοσῶνδε ὁρμώμενοι. Ità ferè Plutarchus verbo ὁρμῶμαι cum hâc præpos. utitur; Ὧν Περπέννας ὁ κορυφαιότατος ἐπεχείρησεν ἐκείνῳ τὰ αὐτὰ ποιεῖν, ἀπὸ τῶν αὐτῶν μὲν ὁρμώμενος δυνάμεων καὶ παρασκευῶν. T. i. p. 628.

θηρίον ὁρᾷ. Τὸ μὲν γὰρ πρῶτον προθύμως, εὖ οἶδ' ὅτι, ἔχει ὑπακουούσας· ἢν δὲ πολλάκις ψεύδηται αὐτάς, τελευτῶσαι, οὐδ' ὁπόταν ἀληθῶς ὁρῶν καλῇ, πείθονται αὐτῷ. Οὕτω καὶ περὶ τῶν ἐλπίδων ἔχει· ἢν πολλάκις προσδοκίας ἀγαθῶν ἐμβαλὼν ψεύδηταί τις, τελευτῶν, οὐδ' ὁπόταν ἀληθεῖς ἐλπίδας λέγῃ ὁ τοιοῦτος, πείθειν δύναται. Ἀλλὰ τοῦ μὲν αὐτὸν λέγειν, ἃ μὴ σαφῶς εἰδείη, φείδεσθαι δεῖ, ὦ παῖ· ἄλλοι δ' ἐνίοτε λέγοντες ταυτὸ διαπράττοιεν ἄν· τὴν δὲ αὑτοῦ παρόρμησιν εἰς τοὺς μεγίστους κινδύνους δεῖ ὡς μάλιστα ἐν πίστει διασώζειν. Ἀλλά, ναὶ μὰ τὸν Δία, ἔφη ὁ Κῦρος, ὦ πάτερ, καὶ καλῶς μοι δοκεῖς λέγειν, καὶ ἐμοὶ οὕτως ἥδιον. Τοῦ γε μὴν πειθομένους παρέχεσθαι τοὺς στρατιώτας οὐκ ἀπείρως μοι δοκῶ ἔχειν, ὦ πάτερ. Σύ τε γάρ με εὐθὺς τοῦτο ἐκ παιδίου ἐπαίδευες, σαυτῷ πείθεσθαι ἀναγκάζων· ἔπειτα τοῖς διδασκάλοις παρέδωκας, καὶ ἐκεῖνοι αὖ ταυτὸ τοῦτο ἔπραττον. [a] Ἐπεὶ δέ, ὡς ἐν τοῖς ἐφήβοις ἦμεν, ὁ ἄρχων ἡμῶν αὐτοῦ τούτου ἰσχυρῶς ἐπεμελεῖτο· [b] καὶ οἱ νόμοι δὲ οἱ πολλοὶ δοκοῦσί μοι δύο ταῦτα μάλιστα διδάσκειν, ἄρχειν τε καὶ ἄρχεσθαι. Καὶ τοίνυν κατανοῶν περὶ τούτων, ἐν ἅπα-

quâ, cùm feram videt, *utitur*. Nam primùm quidem, sat scio, alacriter obediunt: sin frequenter eas decipiat, tandem, nè tum quidem obsequuntur ei, cùm *feram* verè conspiciens clamando hortetur. Sic etiam se habet spei *excitandæ* ratio: si sæpiùs quis injectâ bonorum expectatione fallat, is ad extremum, etiam cùm veras spes afferat, persuadere non potest. Iis utique *imperatorem* ipsum dicendis, quæ non certò sciverit, abstinere, fili, oportet; at alii si nonnunquam *ea* dicant, idem *quod ipse volet* efficiant: suam verò incitationem ad summa pericula fide quàm maximè dignam servare oportet. At enimverò, pater, inquit Cyrus, et mihi rectè dicere videris, et sic *facere* me magìs juvat. Atqui quâ ratione fieri possit ut obedientes sint milites mihi, pater, nequaquam ignorare videor. Tute enim hoc me statim à puero docebas, cùm tibi ipsi parere cogeris; deindè, magistris *me* tradidisti, atque illi quoque idem hoc agebant. Deindè, cùm jam inter ephebos versati sumus, præfectus noster hujus ipsius rei curam enixè admodùm agebat; quin leges etiam pleræque videntur mihi hæc duo maximè docere, imperare *scilicet* et esse sub imperio. Quapropter

a Ἐπεὶ δέ, ὡς, &c.] Vir Cl. Lambertus Bos, in Observ. Miscel. legendum putat, ἐπὶ δὲ, i. e. *Deindè, prætereà.* Conjectura hæc mihi non adeò arridet, ut propterea lectionem, quam libri tuentur omnes, mutem: præsertim cùm alibi etiam ἐπεὶ δὲ pro ἔπειτα poni videatur; ut apud Plutarch. T. i. p. 621. Ἐπεὶ δὲ, πρὸς Κίνναν εἰς τὸ στρατόπεδον πορευθεὶς, ἐξ αἰτίας τινὸς καὶ διαβολῆς ἔδεισε——————Ubi, ἐπεὶ vertendum est, *Deindè*; non, ut Interpres, *Postquam.* Et apud Herodotum, Ἐπεὶ ὦν τοὺς νεηνίας ἀποπεμπομένους ὑπὸ τῶν ἡλίκων, ὕδατί τε καὶ σιτίοισι εὖ ἐξηρτυμένους, ἰέναι, &c. lib. ii. p. 100.

b Καὶ οἱ νόμοι δὲ, &c.] Particulam δὲ orationi, à καὶ incipienti, sic ferè inserunt elegantiores Græci. Id quod tum præcipuè usu venit, cùm aliquid iis, quæ modò præcesserant, quod plus sit majúsve, adjicere parant. Atque ità loqui solent Scriptores Sacri; Act. v. 32.——————καὶ τὸ πνεῦμα δὲ τὸ ἅγιον——————et 2 Tim. iii. 12. Καὶ πάντες δὲ οἱ θέλοντες——————Ubi, καὶ δὲ verti potest, *Quin etiam.*

σιν ὁρᾶν μοι δοκῶ τὸ προτρέπον πείθεσθαι μάλιστα ὂν, τὸ τὸν μὲν πειθόμενον ἐπαινεῖν τε καὶ τιμᾷν, τὸν δὲ ἀπειθοῦντα ἀτιμάζειν τε καὶ κολάζειν. Καὶ ἐπὶ μέν γε τὸ ἀνάγκῃ πείθεσθαι, ἔφη, αὕτη, ὦ παῖ, ἡ ὁδός ἐστιν· ἐπὶ δὲ τὸ πολὺ κρεῖττον τούτου, τὸ ἑκόντας πείθεσθαι, ἄλλη συντομωτέρα ὁδός ἐστιν. Ὃν γὰρ ἂν ἡγήσωνται περὶ τοῦ συμφέροντος ἑαυτοῖς φρονιμώτερον ἑαυτῶν εἶναι, τούτῳ οἱ ἄνθρωποι ὑπερηδέως πείθονται. Γνοίης δ᾽ ἂν ὅτι τοῦθ᾽ οὕτως ἔχει, ἐν ἄλλοις τε πολλοῖς, καὶ δὴ καὶ ἐν τοῖς κάμνουσιν, ὡς προθύμως τοὺς ἐπιτάξοντας ὅ,τι χρὴ ποιεῖν καλοῦσι· καὶ ἐν θαλάττῃ δὲ, ὡς προθύμως τοῖς κυβερνήταις οἱ συμπλέοντες πείθονται· καὶ οὕς γ᾽ ἂν νομίζωσί τινες βέλτιον ἑαυτῶν ὁδοὺς εἰδέναι, [a] ὡς ἰσχυρῶς τούτων οὐδ᾽ ἀπολείπεσθαι θέλουσιν· ὁπότε δὲ οἴονται πειθόμενοι κακόν τι λήψεσθαι, οὔτε ζημίαις πάνυ τι θέλουσιν εἴκειν, οὔτε δώροις ἐπαίρεσθαι. Οὐδὲ γὰρ τὰ δῶρα ἐπὶ τῷ ἑαυτοῦ κακῷ ἑκὼν οὐδεὶς λαμβάνει. Λέγεις σὺ, ἔφη, ὦ πάτερ, εἰς τὸ πειθομένους ἔχειν οὐδὲν εἶναι ἀνυσιμώτερον τοῦ φρονιμώτερον δοκεῖν εἶναι τῶν ἀρχομένων. Λέγω γὰρ οὖν, ἔφη. Καὶ πῶς δή τις, ὦ πάτερ, τοιαύτην δόξαν περὶ αὑτοῦ τάχιστα παρασχέσθαι ἂν δύναιτο; Οὐκ ἔστιν, ἔφη, ὦ παῖ, συντομωτέρα ὁδὸς περὶ ὧν ἂν βούλῃ δοκεῖν φρόνιμος εἶναι, ἢ τὸ γενέσθαι περὶ τούτων φρόνιμον. Καθ᾽ ἓν δὲ ἕκαστον περὶ

equidem de his cogitans, in omnibus videre mihi videor hortamen ad obediendum efficacissimum id esse, si is qui dicto audiens est et laude et honore, contumax autem et ignominiâ et supplicio, afficiatur. Ad efficiendum sanè, inquit, ut necessitate *coactus* quis pareat, hæc, fili, via est: verùm ad id quod hoc multò melius est, ut *nempè* ultrò pareant homines, alia via est magìs compendiaria. Nam quemcunque existimant seipsis in iis *conficiendis* quæ sibi sint utilia prudentiorem, huic homines libentissimè parent. Hoc autem ità se habere, cùm in multis aliis, tum certè in ægrotantibus licet animadvertere, quì libentissimo animo id præcepturos arcessunt quod faciendum sit; itidemque in mari, gubernatoribus perquàm libenter parent, qui unà navigant; quos item arbitrentur aliqui meliùs quàm se vias nôsse, ab iis nè sint à tergo relicti totis viribus enituntur; cùm autem futurum putant uti ex obedientiâ detrimenti quid capaint, *tum verò* nec suppliciis admodùm cedere, nec donis excitari volunt. Neque enim dona quisquam suo damno libens accipit. Dicis tu, pater, ait, nihil ad hoc, ut *suos* quis obsequentes habeat, efficacius esse, quàm ut sibi subjectis prudentior videatur. Dico *id* equidem, inquit. At quo pacto, pater, possit aliquis opinionem ejusmodi de se quàm primùm exhibere? Nulla est, inquit, fili, via magìs compendiaria, quàm ut, quibus in rebus prudens videri volueris, in iis *reverà* prudens sis. Quòd si hæc singulatim consideres, vera me dicere intel-

a Ὡς ἰσχυρῶς τούτων, &c.] Verbum aliquod hic Stephano deesse visum est; isque adeò locum sic supplendum putavit, ὡς ἰσχυρῶς τούτων ἔχονται, οὐδ᾽ ἀπολείπεσθαι θέλουσι. Conjectura vehementer placet; eamque libens in textum reciperem, nisi codices reclamarent omnes.

τούτων σκοπῶν, γνώσῃ ὅτι ἐγὼ ἀληθῆ λέγω. Ἢν γὰρ βούλῃ, μὴ ὢν ἀγαθὸς γεωργὸς, δοκεῖν εἶναι ἀγαθὸς, ἢ ἱππεὺς, ἢ ἰατρὸς, ἢ αὐλητὴς ἢ ἄλλ' ὁτιοῦν, ἐννόει, πόσα γε ἂν δέοι σε μηχανᾶσθαι, τοῦ δοκεῖν ἕνεκα. Καὶ εἰ δὴ πείσαις ἐπαινεῖν τέ σε πολλοὺς, ὅπως δόξαν λάβῃς, καὶ κατασκευὰς καλὰς ἐφ' ἑκάστῳ αὐτῶν κτήσαιο, ἄρτι τε ἐξηπατηκὼς εἴης ἂν, καὶ ὀλίγῳ ὕστερον, ὅπου ἂν πεῖραν δοίης, ἐξεληλεγμένος τ' ἂν εἴης, καὶ προσέτι ἀλαζὼν φαίνοιο. Φρόνιμος δὲ περὶ τοῦ συνοίσειν μέλλοντος πῶς ἂν τις τῷ ὄντι γένοιτο; Δηλονότι, ἔφη, ὦ παῖ, ὅσα μὲν ἐστι μαθόντα εἰδέναι, μαθὼν ἂν, ὥσπερ τὰ τακτικὰ ἔμαθες· ὅσα δὲ ἀνθρώποις οὔτε μαθητὰ, οὔτε προορατὰ ἀνθρωπίνῃ προνοίᾳ, διὰ μαντικῆς ἂν παρὰ θεῶν πυνθανόμενος, φρονιμώτερος ἄλλων ἂν εἴης· ὅ,τι δὲ γνοίης βέλτιον ὂν πραχθῆναι, ἐπιμελόμενος ἂν τούτου ὡς ἂν πραχθείη. Καὶ γὰρ τὸ ἐπιμελεῖσθαι τούτου οὗ ἂν δέῃ, φρονιμωτέρου ἀνδρὸς, ἢ τὸ ἀμελεῖν. Ἀλλὰ μέντοι ἐπὶ τὸ φιλεῖσθαι ὑπὸ τῶν ἀρχομένων (ὅπερ ἔμοιγε ἐν τοῖς μεγίστοις δοκεῖ εἶναι) δηλονότι ἡ αὐτὴ ὁδὸς, ἧπερ εἴ τις ὑπὸ τῶν φίλων στέργεσθαι ἐπιθυμοίη. Εὖ γὰρ οἶμαι δεῖν ποιοῦντα φανερὸν εἶναι. Ἀλλὰ τοῦτο μὲν, ἔφη, ὦ παῖ, χαλεπὸν, τὸ ἀεὶ δύνασθαι εὖ ποιεῖν, οὓς ἄν τις ἐθέλῃ· τὸ δὲ συνηδόμενόν τε φαίνεσθαι, ἤν τι ἀγαθὸν αὐτοῖς [a] συμβαίνῃ, καὶ συναχθόμενον, ἤν τι κακὸν, καὶ συνεπικουρεῖν προθυμούμενον

liges. Nam si, bonus agricola sis, cùm non bonus videri velis, vel eques, vel medicus, vel tibicen, vel aliud quidpiam, quàm multa machinari tibi opus fuerit, ut *talis* videare, cogita. Et si quidem tum multis te ut laudent persuaseris, quò *hanc* de te opinionem excites, tum præclaros ad horum quælibet apparatus acquisiveris, jam *sic demùm* eris deceptor, ei paulò post, ubi periculum *tui* feceris in fraude deprehensus etiam eris, et præterea vanus videberis. Prudens autem in eo quod profuturum est quo quispiam pacto reverà fiat? Nimirum si ea, inquit, fili, quæcunque discendo cognosci possunt, didiceris quemadmodùm aciei instruendæ artem *jam* didicisti: quæcunque verò, nec ab hominibus disci possunt, nec providentiâ humanâ prospici, *de iis* si per vaticinationem à diis certior factus fueris, cæteris prudentior eris; si *denique*, quod ut fiat satius esse intellexeris, id ut fiat curam adhibueris. Id enim *faciendum* curare quod *fieri* oporteat, prudentioris est viri, quàm negligere. At verò ad conciliandam eorum quibus præsumus benevolentiam (quod quidem ego in maximis duco) eadem *est* haud dubiè via, quâ *utendum est illi* qui ab amicis diligi cupiat. Dandam enim operam puto ut palàm sit beneficus. Sed hoc quidem, fili, difficile est, posse semper, quoscunque velit quispiam, beneficiis afficere: ut verò unà gudere videatur, si quid eis prosperè eveniat, et una dolere si quid adversi, et prompto esse animo dubiis eorum rebus una succurrendis, et

a Συμβαίνῃ] Hanc scripturam exhibent, quam cum Stephano vulgatæ illi συμβαίνη Editiones Argentor. Ingolst. et Srobæus; præferendam duxi.

ταῖς ἀποϱίαις αὐτῶν, καὶ πϱοφοϐούμενον μή τι σφαλῶσι, καὶ πϱονοεῖν πειϱώμενον ὡς μὴ σφάλλωνται, ἐπὶ ταῦτά πως δεῖ μᾶλλον συμπαϱομαϱτεῖν. Καὶ ἐπὶ τῶν πϱάξεων δὲ, ἣν μὲν ἐν θέϱει ὦσι, τὸν ἄϱχοντα δεῖ τοῦ ἡλίου πλεονεκτοῦντα φανεϱὸν εἶναι· ἢν δὲ ἐν χειμῶνι, τοῦ ψύχους· ἢν δὲ δέῃ μοχθεῖν, τῶν πόνων· πάντα γὰϱ ταῦτα εἰς τὸ φιλεῖσθαι ὑπὸ τῶν ἀϱχομένων συλλαμϐάνει. Λέγεις σὺ, ἔφη, ὦ πάτεϱ, ὡς καὶ καϱτεϱώτεϱον δεῖ πϱὸς πάντα τὸν ἄϱχοντα τῶν ἀϱχομένων εἶναι. Λέγω γὰϱ οὖν, ἔφη. Θάῤῥει μέντοι, ἔφη, ὦ παῖ· εὖ γὰϱ ἴσθι τοῦτο, [a] ὅτι τῶν ὁμοίων σωμάτων οἱ αὐτοὶ πόνοι οὐχ ὁμοίως ἅπτονται, ἄϱχοντός τε ἀνδϱὸς καὶ ἰδιώτου· ἀλλ' ἐπικουφίζει τι ἡ τιμὴ τοὺς πόνους τῷ ἄϱχοντι, καὶ τὸ αὐτὸν εἰδέναι, ὅτι οὐ λανθάνει, ὅ,τι ἂν ποιοίη. Ὁπότε δὲ, ὦ πάτεϱ, ἤδη ἔχοιεν μὲν τὰ ἐπιτήδεια οἱ στϱατιῶται, ὑγιαίνοιέν τε, πονεῖν δὲ δύναιντο, τὰς δὲ πολεμικὰς τέχνας ἠσκηκότες εἶεν, φιλοτίμως δ' ἔχοιεν πϱὸς τὸ ἀγαθοὶ φαίνεσθαι, τὸ δὲ πείθεσθαι, αὐτοῖς ἥδιον εἴη τοῦ ἀπειθεῖν, οὐκ ἂν ἤδη τηνικαῦτα σωφϱονεῖν ἄν τις σοι δοκοίη διαγωνίζεσθαι βουλόμενος πϱὸς τοὺς πολεμίους ὡς τάχιστα; Ναὶ μὰ Δί', ἔφη, εἰ μέλλοι γε πλεῖον ἕξειν· εἰ δὲ μὴ, ἔγωγ' ἂν ὅσῳ οἰοίμην καὶ αὐτὸς βελτίων εἶναι, καὶ τοὺς ἑπομένους βελτίους ἔχειν, τόσῳ δ' ἂν μᾶλλον φυλαττοίμην· ὥσπεϱ καὶ

solicitus nè quâ in re labantur, et studiosè providere nè infelici successu rem gerant, in his magis quodammodò oportet socium *te* præbere. Jam verò in rebus gerendis, si per æstatem sint *gerendæ*, oportet imperatorem palàm se solis maximè patientem exhibere; sin per hyemem, frigoris; et si laborandum sit, laborum: nam hæc omnia ad conciliandum eorum quibus quis præsit amorem conducunt. Dicis tu, pater, inquit, oportere imperatorem omnia tolerantiùs pati quam eos qui sunt sub *ejus* imperio. *Id* utique dico, inquit. Tu tamen, fili, ait, bono sis animo: certò enim hoc scias, labores eosdem similibus corporibus, imperatoris *scilicet* et privati, æquè graves non esse; sed ipse honos labores nonnihil leviores facit imperatori, et quòd intelligat, minimè latere, quicquid *ipse* agat. Ubi verò pater, res necessarias jam habeant milites, rectè valeant, labores perferre possint, in bellicis artibus exercitati sint, et obnixè strenui videri cupiant, et *denique* facere imperata quàm detrectare ipsis sit jucundius, nonnè jam tum sapere tibi quis videretur, si cum hoste quàm primùm confligere vellet? *Ità* profectò, inquit, si quidem superiori conditione sit futurus: sin minùs, ego certè quanto et meliorem me esse existimaverim, et meliores mecum habere, tanto magis caverem: quemadmodùm et alia, quæ à nobis plurimi æsti-

a Ὅτι τῶν ὁμοίων, &c.] Sententiam hanc Cicero in lib. 2. Disput. Tusc. hæc verba præfatus transtulit, "Itaque semper Africanus Socraticum Xenophontem in manibus habebat; cujus in primis laudabat illud, quod diceret, *eosdem labores non æquè graves esse imperatori et militi: quòd ipse honos laborem leviorem faceret imperatori*: p. 160. Ed. Cantab.

τὰ ἄλλα, ἃ ἂν οἰώμεθα πλεῖϛου ἡμῖν ἄξια εἶναι, ταῦτα πειρώμεθα ὡς ἐν ἐχυρωτάτῳ ϖοιεῖσθαι. Πλέον δ᾽ ἔχειν, ὦ πάτερ, πολεμίων πῶς ἄν τις δύναιτο μάλιϛα; Οὐ μὰ Δί᾽, ἔφη, οὐκέτι τοῦτο φαῦλον, ὦ παῖ, οὐδ᾽ ἁπλοῦν ἔργον ἐρωτᾷς· ἀλλ᾽ εὖ ἴσθι ὅτι δεῖ τὸν μέλλοντα τοῦτο ποιήσειν, καὶ ἐπίϐουλον εἶναι, καὶ κρυψίνουν, καὶ δολερὸν, καὶ ἀπατεῶνα, καὶ κλέϖτην, καὶ ἅρπαγα, [a] καὶ ἐν ϖαντὶ ϖλεονέκτην τῶν πολεμίων. Καὶ ὁ Κῦρος ἐϖιγελάσας εἶπεν, Ὦ Ἡράκλεις, οἷον σὺ λέγεις, ὦ πάτερ, δεῖν ἄνδρα με γενέσθαι. Οἷος ἂν, ἔφη, ὦ ϖαῖ, δικαιότατός τε καὶ νομιμώτατος ἀνὴρ εἴης. Πῶς μὴν, ἔφη, παῖδας ὄντας ἡμᾶς καὶ ἐφήϐους τἀναντία τούτων ἐδιδάσκετε; Ναὶ μὰ Δί᾽, ἔφη, καὶ νῦν γε, πρὸς τοὺς φίλους τε καὶ πρὸς τοὺς πολίτας· ὅπως δέ γε τοὺς ϖολεμίους δύναισθε κακῶς ποιεῖν, οὐκ οἶσθα μανθάνοντας ὑμᾶς ϖολλὰς κακουργίας; Οὐ δῆτ᾽ ἔγωγ᾽, ἔφη, ὦ πάτερ. Τίνος μὴν, ἔφη, ἕνεκα ἐμανθάνετε τοξεύειν; Τίνος δ᾽ ἕνεκα, ἀκοντίζειν; Τίνος δ᾽ ἕνεκα, [b] δολοῦν ὗς ἀγρίους πλέγμασι καὶ ὀρύγμασι; Τί δὲ, ἐλάφους ποδάγραις καὶ ἀρπεδόναις; Τί δὲ λέουσι, καὶ ἄρκτοις, καὶ παρδάλεσιν οὐκ εἰς τὸ ἴσον καθιϛάμενοι ἐμάχεσθε, ἀλλὰ μετὰ πλεονεξίας

manda esse putemus, ut quàm maximè in tuto sint, operam damus. At quâ potissimùm ratione possit quis, pater, meliori esse quàm hostes conditione? Non herclè, inquit, non jam de levi, fili, neque simplici re percontaris: sed certò scias oportere eum qui præstaturus hoc sit, et insidiatorem esse, et mentis suæ occultatorem, et fraudulentum, et veteratorem, et furem, et raptorem, et in quâvis re plus quàm hostes habendi appetentem. Et Cyrus ad ea ridens ait, Dii boni, qualem esse me virum, tu, pater, oportere dicis! Qualis, inquit, si fueris, fili, et justissimus sis et legum observantissimus. At quî fit, ait, ut pueri cùm essemus et ephebi, his contraria nos doceretis? Immò, inquit, etiam nunc profectè, erga amicos *utique* et cives: hostes verò ut lædere possitis nonnè nôsti multas vos didicisse nequitias? Minimè equidem, pater, inquit. Cur ergò ait *ille*, sagittare discebatis? Cur, jaculari? Cur, sues agrestes retibus et foveis fallendo captare? Cur, cervos pedicis et laqueis? Cur cum leonibus, et ursis et pardis non æquo marte pugnabatis, sed aliquâ semper conditione superiori adversùs hasce

a Καὶ ἐν παντὶ πλεονέκτην] Anteà, πλεονεκτεῖν. Sed aptiùs Stephani et Mureti judicio, scribitur πλεονέκτην, continuatâ et hic orationis formâ. Horum judicium confirmat MS. Bodleian. necnon, Leunclavio teste, liber Budensis, quo Camerarium usum dicit.

b Δολοῦν] Rectè hoc verbum pro δυλοῦν, quod hactenùs obtinuit, substituendum arbitratus est Stephanus. Nam pro hâc emendatione facit, primùm, res ipsa; cùm is, qui apros retibus et foveis capit, dolo adversùs illos utatur, non vi apertâ, de quâ potiùs, quàm de dolo dicendum esset τὸ δυλοῦν· deindè, quòd et præcedit δολερὸν et sequitur δολώσεις. Et lectionem sanè quam Stephanus, his rationibus adductus, reponendam censuit, MS. Bodl. clarè repræsentat. Huic etiam suffragium suum dedit Cl. Lamb. Bos; qui similem planè locum ex Plutarchi protulit *amatorio*, p. 757. T. 2. Ἐνχονται δ᾽ Ἀριϛαίῳ δολοῦντες ὀρύγμασι καὶ βρόχοις λύκους καὶ ἄρκτους ——————Ubi habemus δολοῦν ὀρύγμασι καὶ βρόχοις, ut hic δολοῦν πλέγμασι καὶ ὀρύγμασι.

τινὸς ἀεὶ ἐπειρᾶσθε ἀγωνίζεσθαι πρὸς αὐτά; Ἢ οὐ γινώσκεις ὅτι ταῦτα πάντα κακουργίαι τινὲς, καὶ ἀπάται, καὶ δολώσεις, καὶ ϖλεονεξίαι; Ναὶ μὰ Δί', ἔφη ὁ Κῦρος, θηρίων γε· ἀνθρώπων δὲ εἰ καὶ δόξαιμι βούλεσθαι ἐξαϖατῆσαί τινα, πολλὰς πληγὰς οἶδα λαμβάνων. Οὐδὲ γὰρ τοξεύειν, οἶμαι, ἔφη, οὐδ' ἀκοντίζειν ἄνθρωπον ἐπετρέπομεν ὑμῖν, ἀλλ' ἐπὶ σκοπὸν βάλλειν ἐδιδάσκομεν· ἵνα γε νῦν μὲν μὴ κακουργοίητε τοὺς φίλους, εἰ δέ ποτε πόλεμος γένοιτο, δύναισθε καὶ ἀνθρώπων ςοχάζεσθαι. Καὶ ἐξαπατᾷν δὲ καὶ πλεονεκτεῖν οὐκ ἐν ἀνθρώποις ἐπαιδεύομεν ὑμᾶς, ἀλλ' ἐν θηρίοις, ἵνα μηδ' ἐν τούτοις τοὺς φίλους βλάπτοιτε· εἰ δέ ποτε πόλεμος γένοιτο, μηδὲ τούτων ἀγύμναςοι εἴητε. Οὐκοῦν, ἔφη, ὦ πάτερ, εἴπερ χρήσιμά ἐςιν ἀμφότερ' ἐπίςασθαι, εὖ τε ποιεῖν καὶ κακῶς ἀνθρώπους, καὶ διδάσκειν ἀμφότερα ταῦτα ἔδει ἐν ἀνθρώποις; Ἀλλὰ λέγεται, ἔφη, ὦ παῖ, ἐϖὶ τῶν ἡμετέρων προγόνων γενέσθαι ποτὲ ἀνὴρ διδάσκαλος τῶν ϖαίδων, ὃς ἐδίδασκεν ἄρα τοὺς παῖδας [a] τήν τε δικαιοσύνην, ὥσπερ καὶ σὺ κελεύεις, καὶ ἀδικίαν· μὴ ψεύδεσθαι, καὶ ψεύδεσθαι· καὶ μὴ ἐξαϖατᾷν, ϗ ἐξαπατᾷν· καὶ μὴ διαβάλλειν, καὶ διαβάλλειν· καὶ μὴ πλεονεκτεῖν, καὶ πλεονεκτεῖν. Διώριζε δὲ τούτων ἅ τε πρὸς τοὺς φίλους ποιητέον ἦν, καὶ ἃ πρὸς

feras certare nitebamini? Annon animadvertis hæc omnia nequitias esse, et fraudes, et dolos, et melioris conditionis captationes? *Sunt* herclè, inquit Cyrus, adversùs feras quidem; at hominum quenquam si modò decipere velle viderer, multas *me* plagas accipere *solitum* novi. Neque enim sagittis, opinor, *pater* inquit, neque jaculo hominem vobis ferire permisimus, sed scopum petere docebamus; non quidem ut in præsens noceretis amicis, verùm si quando bellum obortum sit, etiam homines ictu certo ferire possetis. Atque adeò fallaciis utendi et meliorem aliquam conditionem præripiendi ratione non in hominibus vos instituimus, sed in feris, nec his *quidem artibus* ut amicos læderetis; at siquandò bellum sit obortum, neque in his inexercitati essetis. Atqui, pater, inquit, si utraque scitu sunt utilia, tam benè quàm malè facere hominibus, hæc etiam utraque erant in hominibus docenda. Fertur utique, fili, ait *ille*, tempore majorum nostrorum virum quendam fuisse puerorum magistrum, qui nimirum justitiam pueros doceret, quemadmodùm tu quoque jubes, et injustitiam; non mentiri, et mentiri; non fallere, et fallere; non calumniari, et calumniari; non *aliis* præripere commodum, et præripere. Distinguebat etiam quænam horum erga ami-

a *Τήν τε δικαιοσύνην*] In vulgatis, voces ϗ *ἀδικίαν* non leguntur. Sed particula copulativa *τε* ante *δικαιοσύνην*, ad aliquid ducere videtur, quod justitiæ mox opponendum sit; sicut et cætera inter se pugnant hujus periodi membra. Igitur Leunclavii conjecturam, quæ Stephano etiam valdè arrisit, secutus, voces ϗ *ἀδικίαν* suo loco inserendas curavi; orationi enim complendæ vel hæ vel similes omninò deesse videntur.

τοὺς ἐχθρούς· καὶ ἔτι δὲ προβὰς ταῦτα ἐδίδασκεν, ὡς τοὺς φίλους δίκαιον εἴη ἐξαπατᾷν, ἐπί γε ἀγαθῷ· καὶ κλέπτειν τὰ τῶν φίλων, ἐπί γε ἀγαθῷ. Καὶ ταῦτα διδάσκοντα ἀνάγκη καὶ γυμνάζειν ἦν πρὸς ἀλλήλους τοὺς παῖδας ταῦτα ποιεῖν· ὥσπερ καὶ ἐν πάλῃ φασὶ τοὺς Ἕλληνας διδάσκειν ἐξαπατᾷν, καὶ γυμνάζειν δὲ τοὺς παῖδας πρὸς ἀλλήλους τοῦτο δύνασθαι ποιεῖν. Γενόμενοι οὖν τινες οὕτως εὐφυεῖς καὶ πρὸς τὸ εὖ ἐξαπατᾷν, καὶ πρὸς τὸ εὖ πλεονεκτεῖν, ἴσως δὲ καὶ πρὸς τὸ φιλοκερδεῖν οὐκ ἀφυεῖς ὄντες, οὐκ ἀπείχοντο οὐδ' ἀπὸ τῶν φίλων, τὸ μὴ οὐχὶ πλεονεκτεῖν αὐτῶν πειρᾶσθαι. Ἐγένετο οὖν ἐκ τούτου [a] ῥήτρα, ᾗ καὶ νῦν χρώμεθα ἔτι, ἁπλῶς διδάσκειν τοὺς παῖδας, ὥσπερ τοὺς οἰκέτας πρὸς ἡμᾶς αὐτοὺς διδάσκομεν ἀληθεύειν, καὶ μὴ ἐξαπατᾷν, μηδὲ κλέπτειν, μηδὲ πλεονεκτεῖν· εἰ δὲ παρὰ ταῦτα ποιοῖεν, κολάζειν· ὅπως σὺν τοιούτῳ ἔθει ἐθισθέντες, πρᾳότεροι πολῖται γένοιντο. Ἐπεὶ δὲ ἔχοιεν τὴν ἡλικίαν, ἥνπερ σὺ νῦν ἔχεις ἤδη, καὶ τὰ πρὸς τοὺς πολεμίους νόμιμα ἐδόκει ἀσφαλὲς εἶναι διδάσκειν. Οὐδὲ γὰρ ἂν ἔτι ἐξενεχθῆναι δοκεῖτε πρὸς τὸ ἄγριοι πολῖται γενέσθαι, ἐν τῷ αἰδεῖσθαι ἀλλήλους συντεθραμμένοι· ὥσπερ γε καὶ περὶ ἀφροδισίων οὐ διαλεγόμεθα πρὸς τοὺς ἄγαν νέους, ἵνα μὴ πρὸς τῇ ἰσχυρᾷ ἐπιθυμίᾳ αὐτοῖς ῥᾳδιουργίας προσγενομένης, ἀμέτρως αὐτῇ

cos, quæ adversùs inimicos facienda essent: atque adeò progressus ulteriùs hæc docebat, amicos decipere, *ipsorum* bono quidem, justum esse; et amicorum res, *ipsorum* quidem bono, furari. Hæc qui docebat pueros ad ea inter se facienda exercuerit etiam necesse erat; quemadmodùm et in luctâ circumveniendi rationem Græcos docere aiunt, atque etiam exercere pueros ut inter se hoc facere possint. Itaque cùm nonnulli naturâ essent ingeniosi et ad scitè decipiendum, et ad *aliis* aliquid scitè præripiendum, ac fortassè etiam ad lucrandi studium non inepti essent, nec ab amicis quidem abstinebant, quò minùs eis aliquid præripere conarentur. Factum est igitur indè decretum, quo nunc etiam utimur, ut simpliciter docerentur pueri, quemadmodùm servos docemus erga nos veraces esse, et non fallaciis uti, nec furari, nec quidquam *alicui* plus habendi desiderio eripere: si *quid* autem contra hæc facerent, ut castigarentur; quò *nimirum* mansuetiores, his moribus adsuefacti, cives existerent. At postquam eâ essent ætate, quâ tu jam nunc es, *tunc sanè iis* et jura adversùs hostes *servanda* tutò tradi posse putabant. Non enim ampliùs *eò* efferri posse videmini, ut cives feri evadatis, cùm *ità* simul nutriti et educati estis, ut vos mutuò revereamini: sicuti de rebus venereis ad valdè juvenes verba non facimus, nè accedente ad vehementem

a Ῥήτρα] In omnibus ferè editis, φρήτρα hic perperam legitur. Nos, re quidem ipsâ duce, Stephanum, Leunclavium et Muretum sequendos omninò putavimus, qui primi ῥήτραν haud dubiè recipiendam animadvertêre. Hanc porrò vocem in margine MS. Bodl. laudatam invenimus. Græci autem, teste Plutarcho, T. i. p. 43. & 47. & T. ii. p. 213. leges à Lycurgo latas ῥήτρας dixêre.

χρῷντο οἱ νέοι. Νὴ Δί', ἔφη· ὡς τοίνυν ὀψιμαθῆ με ὄντα τούτων τῶν πλεονεξιῶν, ὦ πάτερ, μὴ φείδου, εἴ τι ἔχεις, διδάσκειν [a] ὅπως πλεονεκτήσω ἐγὼ τῶν πολεμίων. Μηχανῶ τοίνυν, ἔφη, ὁπόση ἐςὶ δύναμις, τεταγμένοις τοῖς σαυτοῦ ἀτάκτους λαμβάνειν τοὺς πολεμίους· καὶ ὡπλισμένοις, ἀόπλους· καὶ ἐγρηγορόσι, καθεύδοντας· καὶ φανεροὺς σοι ὄντας, ἀφανὴς ὢν αὐτὸς ἐκείνοις· καὶ ἐν δυσχωρίαις αὐτοὺς γιγνομένους, ἐν ἐρυμνῷ αὐτὸς ὢν, ὑποδέξῃ. Καὶ πῶς ἄν, ἔφη, τίς τοιαῦτα, ὦ πάτερ, ἁμαρτάνοντας δύναιτο ἂν τοὺς πολεμίους λαμβάνειν; Ὅτι, ἔφη, ὦ παῖ, πολλὰ μὲν τούτων ἀνάγκη ἐςὶ καὶ ὑμᾶς καὶ τοὺς πολεμίους πάσχειν. [b] Σιτοποιεῖσθαί τε γὰρ ἀνάγκη ἀμφοτέρους, κοιμᾶσθαί τε ἀμφοτέρους, καὶ ἕωθεν ἐπὶ τὰ ἀναγκαῖα σχεδὸν ἅμα πάντας ἀποχωρεῖν δεῖσθαι· καὶ ταῖς ὁδοῖς, ὁποῖαι ἂν ὦσι, τοιαύταις ἀνάγκη χρῆσθαι· ἃ χρή σε πάντα κατανοοῦντα, ἐν ᾧ μὲν ἂν ὑμᾶς γινώσκῃς ἀσθενεςάτους γιγνομένους, ἐν τούτῳ μάλιςα φυλάττεσθαι· ἐν ᾧ δ' ἂν τοὺς πολεμίους αἰσθάνῃ [c] εὐχειρω-

eorum libidinem audaciâ, immodicè huic *libidini* indulgeant juvenes. Ità profectò, inquit *Cyrus:* quapropter me, ceu serò accedentem ad discendum rationes illas præripiendi commoditates, pater, docere, si quid habes, nê recusato, quò ego meliori sim, quàm hostes, conditione. Igitur enitere inquit, quantum potes, ut cum tuis instructis hostes non instructos deprehendas; et cum armatis, inermes; et cum vigilantibus, dormientes; et abs te conspectos, cùm ipsi te non videant; et ut difficultatibus locorum impeditos, ipse in loco munito constitutus, excipias. Et quonam modo pater, inquit, possit aliquis hostes in hujusmodi erroribus deprehendere? Quoniam, fili, ait, multa talia cùm vobis tum hostibus accidere necesse est. Nam utrosque cibum sumere necesse est, utrosque etiam somnum capere, ac manè ad *factu* necessaria simul ferè omnibus secedendum est; et viis, qualescunque fuerint, talibus uti necesse est: quæ te omnia considerantem oportet, ubi quidem vos maximè imbecillos esse animadverteris, ibi summâ cautione uti: ubi verò posse senseris hostes facillimè opprimi, ibi po-

a Ὅπως πλεονεκτήσω, &c.] Ut τοῦ πλεονεκτεῖν et πλεονεξίας (quibus crebrò usus est Xenophon) innotescat vis, eam haud abs re forsan constare notandum est, in dolis intendendis, in insidiis locandis, in consiliis occultandis, omnique adeò præripiendâ occasione quâ quis alium fallere, anteire, et superare queat.

b Σιτοποιεῖσθαι] Interpretes alii alio modo verbum hoc exponunt: Philelphus *frumentatum ire*, Leunclavius, *victûs rationem expedire*, reddit. Suidam ego sequendum duxi, qui id hic accipi scribit pro τροφὴν λαμβάνειν, *cibum sumere*. Sensus hoc modo exoritur tum huic loco consentaneus, tum iis quæ Noster lib. hujus Historiæ 7. tradit, nempè, οὐδαμῶ ἀνθρώπυς εὐχειρωτοτέρυς εἶναι, ἢ ἐν σίτοις ϗ ποτοις, &c.

c Εὐχειρωτοτάτυς] Omninò placet hæc lectio, quam Stephanus et Leunclavius ex conjecturâ restituendam pronuntiârunt. Vulgati habent εὐχειροτάτυς. Sed εὐχείρωτος ferè, non item εὔχειρος, dici solet qui *facilè subjugari*, seu *capi potest*. Atque ità Xenophontem ipsum hâc usum esse voce ex iis constat, quæ modò ex eo ad σιτοποιεῖσθαι attulimus. Et, ut ex hâc voce, ità ex illâ καρτερώτερον p. 85. syllabam excidisse, iidem docti viri putârunt: cùm Xenophon alibi eum καρτερικὸν dicere soleat, quem loco citato καρτερὸν appellat. Ut, ἀπομν. lib. i. p. 414.——πρὸς χειμῶνα ϗ θέρος ϗ πάντας πόνυς καρτερικώτατος.

τοιούτους γιγνομένους, ἐν τούτῳ μάλιστα ἐπιτίθεσθαι. Πότερον δ', ἔφη ὁ Κῦρος, ἐν τούτοις μόνον ἐστὶ πλεονεκτεῖν, ἢ καὶ ἐν ἄλλοις τισί; Καὶ πολύ γε μᾶλλον, ἔφη, ὦ παῖ· ἐν τούτοις μὲν γὰρ ὡς ἐπὶ τὸ πολὺ πάντες ἰσχυρὰς φυλακὰς ποιοῦνται, εἰδότες ὅτι δέονται. Οἱ δ' ἐξαπατῶντες τοὺς πολεμίους δύνανται, καὶ θαρσῆσαι ποιήσαντες, ἀφυλάκτους λαμβάνειν· καὶ διῶξαι [a] παραδόντες ἑαυτούς, ἀτάκτους ποιῆσαι· καὶ ἐς δυσχωρίαν φυγῇ ὑπαγαγόντες, ἐνταῦθα ἐπιτίθεσθαι. Δεῖ δέ, ἔφη, ὦ παῖ, φιλομαθῆ σε τούτων πάντων ὄντα, οὐχ, οἷς ἂν μάθοις, τούτοις μόνοις χρῆσθαι, ἀλλὰ καὶ αὐτὸν ποιητὴν εἶναι τῶν πρὸς τοὺς πολεμίους μηχανημάτων· ὥσπερ καὶ οἱ μουσικοὶ οὐχ, οἷς ἂν μάθωσι, τούτοις μόνον χρῶνται, ἀλλὰ καὶ ἄλλα μέλη πειρῶνται ποιεῖν. Καὶ σφόδρα μὲν [b] καὶ ἐν τοῖς μουσικοῖς τὰ νέα καὶ ἀνθηρὰ εὐδοκιμεῖ, πολὺ δὲ καὶ ἐν τοῖς πολεμικοῖς μᾶλλον τὰ καινὰ μηχανήματα εὐδοκιμεῖ· ταῦτα γὰρ μᾶλλον καὶ ἐξαπατᾶν δύνανται τοὺς πολεμίους. Εἰ δὲ σύ γε, ἔφη, ὦ παῖ, μηδὲν ἄλλο μετενέγκοις ἐπ' ἀνθρώπους, ἢ τὰς μηχανάς, ἃς καὶ πάνυ ἐπὶ τοῖς μικροῖς θηρίοις ἐμηχανῶ, οὐκ οἴει ἄν, ἔφη, πρόσω πάνυ ἐλάσαι τῆς πρὸς τοὺς πολεμίους πλεονεξίας;

tissimùm eos adoriri. Num verò in his duntaxat, ait Cyrus, meliori esse conditione licet, an etiam in quibusdam aliis? *In aliis*, et sanè multò magis, inquit, fili: nam in his quidem plerumque omnes cautiones adhibent accuratas, quippe quas necessarias esse intelligant. Qui verò hostibus fallendis operam dant, possunt *eos*, et injectâ fiduciâ, incautos opprimere; et concessâ se insequendi facultate, eorum ordines perturbare; et cùm fugâ *simulatâ* paulatim in difficilia loca perduxerint, ibi aggredi. Oportet autem te, fili, inquit, qui hæc omnia discendo callere cupis, non, quæcunque didiceris, his solis uti, sed ipsum etiam machinationum esse adversùs hostes opificem: quemadmodùm et musici non iis tantùm, quos didicêre, modis utuntur, sed alios etiam facere conantur. Ac vehementer quidem cùm in musicis quæ nova sunt et florida probantur, tum verò multò magìs in rebus bellicis novæ machinationes laudantur; hæ enim faciliùs hostes decipere possunt. Quòd si tu quidem, fili, ait, nihil aliud in homines transferas, quàm eas molitiones quas vel adversùs bestias minutas admodùm excogitabas, nonne *te*, inquit, plurimùm in rationibus, quibus hoste superior evadas, inveniendis profecturum putas? Nam tu quidem hyeme surgens sævissimâ,

a Παραδόντες] Legitur etiam παριδόντες. Ut verò illud huic præponam auctores mihi sunt Muretus, Stephanus, et Leunclavius. Utrocunque autem modo legas, loci sensus satìs constabit, Sapienter scil. facturum imperatorem, qui hostibus se suosque insequendi occasionem nonnunquam præbet; illi enim, dum incautè sequuntur eos qui fugam simulant, ordines solent deserere.

b Καὶ ἐν τοῖς μυσικοῖς, &c.] Priorem hujus sententiæ partem ab Homero Xenophon accepisse videtur: sic enim ille;

Τὴν γὰρ ἀοιδὴν μᾶλλον ἐπικλείουσ' ἄνθρωποι,
Ἥτις ἀκουόντεσσι νεωτάτη ἀμφιπέληται.

Ὀδυσ. ά. v. 351.——2. Nec aliter Pindarus:

——Αἴνει δὲ παλαιὸν
Μὲν οἶνον, ἄνθεα δ' ὕμνων
Νεωτέρων. Ὀλυμπ. θ' v. 73. et seq.

Σὺ μὲν γὰρ ἐπὶ τὰς ὄρνιθας ἐν τῷ ἰσχυροτάτῳ χειμῶνι ἀνιστάμενος ἐπορεύου νυκτός· καὶ πρὶν κινεῖσθαι τὰς ὄρνιθας ἐπεποίηντό σοι ἐπὶ τούτῳ αἱ πάγαι αὐταῖς, καὶ τὸ κεκινημένον χωρίον ἐξείκαστο τῷ ἀκινήτῳ· ὄρνιθες δὲ ἐπεπαίδευντό σοι, ὥστε σοὶ μὲν τὰ συμφέροντα ὑπηρετεῖν, τὰς δὲ ὁμοφύλους ὄρνιθας ἐξαπατᾶν· αὐτὸς δὲ ἐνήδρευες, ὥστε ὁρᾶν μὲν αὐτὰς, μὴ ὁρᾶσθαι δὲ ὑπ' αὐτῶν· εἶχες δ' ἐπιμέλειαν τοῦ φθάνειν ἕλκων τὰ πετεινὰ πρὸ τοῦ φυγεῖν. Πρὸς δ' αὖ τὸν λαγὼ, ὅτι μὲν ἐν σκότει νέμεται, τὴν δ' ἡμέραν ἀποδιδράσκει, κύνας ἔτρεφες, αἳ τῇ ὀσμῇ αὐτὸν ἀνεύρισκον. Ὅτι δὲ ταχὺ ἔφευγεν, ἐπεὶ εὑρεθείη, ἄλλας κύνας εἶχες ἐπιτετηδευμένας πρὸς τὸ καταπόδας αἱρεῖν. Εἰ δὲ καὶ ταύτας ἀποφύγοιεν, τοὺς πόρους αὐτῶν ἐκμανθάνων, και πρὸς οἷα χωρία φεύγειν αἱροῦνται οἱ λαγὼ, ἐν τούτοις τὰ δίκτυα δυσόρατα ἐνεπετάννυες, [a] ἵνα ἐν τῷ σφόδρα φεύγειν, αὐτὸς ἑαυτὸν, ἐμπίπτων, ἐνέδυ. Τοῦ δὲ μηδ' ἐντεῦθεν διαφεύγειν, σκοποὺς τοῦ γιγνομένου καθίστης, οἳ ἐγγύθεν ταχὺ ἔμελλον ἐπιγενήσεσθαι· καὶ αὐτὸς μὲν σὺ ὄπισθεν κραυγῇ οὐδὲν ὑστεριζούσῃ τοῦ λαγὼ βοῶν, ἐξέπληττες αὐτὸν ὥστε ἀφρόνως ἁλίσκεσθαι· τοὺς δὲ ἔμπροσθεν σιγᾶν διδάξας ἐνεδρεύοντας, λανθάνειν ἐποίεις. Ὥσπερ οὖν προεῖπον, εἰ τοιαῦτα ἐθελήσαις καὶ ἐπὶ τοὺς ἀνθρώπους μηχανᾶσθαι, οὐκ οἶδ' ἔγωγε εἴ τινα

ad *captandas* aves noctu ire solebas; et priusquàm aves se commoverent, *jam* eis erant abs te posita in hunc finem retia, et quem moveras locus erat immoto persimilis: *quædam* autem tibi aves erant *ità* edoctæ, ut tuis quidem commodis servirent, sui verò generis aves in fraudem pellicerent: ipse in insidiis *ità* te abdebas, ut illas tu quidem cerneres, ab illis verò cerni non posses; curam etiam adhibuisti, ut volucres priùs trahendo anteverteres, quàm fugerent. Rursùs autem adversùs leporem, quòd is in tenebris pastum quærat, interdiù verò fugit, canes alebas, quæ eum odoratu investigarent. Quoniam verò, postquam fuerit inventus, celeriter in fugam se conjiceret, canes alias habebas ad *eum* vestigiis persequendo capiendum institutas. Quòd si et has effugerent lepores, edoctus eorum meatus, et ad quæ potissimùm loca fugere soleant, in illis retia visu difficilia tendebas, ut dum concitatè fugeret, illapsus *in ea lepus*, ipse se *in ea* indueret. Atque utì nè hinc etiam aufugeret, speculatores ejus quod accideret constituebas, qui è propinquo celeriter adcurrendo supervenirent *illi*: et tu quidem ipse à tergo clamorem ad leporem usque pervenientem tollens, *ità* territabas eum, ut improvidè *procurrens* caperetur: eos autem, quos ab anteriori parte in insidiis collocatos silere jusseras, latere faciebas. Quamobrem, ut aiebam anteà, si hujusmodi quædam adversùs homines etiam moliri volueris, haud equidem scio, an ullum ex hostibus *superstitem* relicturus sis.

a. Ἵνα ἐν τῷ——ἐνέδυ] Sic etiam ἵνα cum indicativo construitur 1 Cor. iv. 6.— ἵνα μὴ εἷς ὑπὲρ τοῦ ἑνὸς φυσιοῦσθε————pro φυσιῶσθε, uti videtur; sicut et ἐνέδυ hic ponitur pro ἐνδύσαιτο.

λίποις ἂν τῶν πολεμίων. Ἢν δέ ποτε ἄρα ἀνάγκη γένηται [a] καὶ ἐν τῷ ἰσοπέδῳ, καὶ ἐκ τοῦ ἐμφανοῦς, καὶ ὡπλισμένους ἀμφοτέρους μάχην συνάπτειν, ἐν τῷ τοιούτῳ δή, ὦ παῖ, αἱ ἐκ πολλοῦ παρεσκευασμέναι πλεονεξίαι μέγα δύνανται. Ταύτας δὲ ἐγὼ λέγω εἶναι, ὅταν τῶν στρατιωτῶν εὖ μὲν τὰ σώματα ἠσκημένα ᾖ, εὖ δὲ αἱ ψυχαὶ τεθηγμέναι, εὖ δὲ αἱ πολεμικαὶ τέχναι μεμελετημέναι ὦσιν. Εὖ δὲ χρὴ καὶ τοῦτο εἰδέναι, ὅτι ὁπόσους ἂν ἀξιοῖς σοι πείθεσθαι, καὶ ἐκεῖνοι πάντες ἀξιώσουσί σε πρὸ ἑαυτῶν βουλεύεσθαι. Μηδέποτε οὖν ἀφροντίστως ἔχε, ἀλλὰ τῆς μὲν νυκτὸς προσκόπει τί σοι ποιήσουσιν οἱ ἀρχόμενοι, ἐπειδὰν ἡμέρα γένηται· τῆς δὲ ἡμέρας, ὅπως τὰ εἰς νύκτα κάλλιστα ἕξει. Ὅπως δὲ χρὴ τάσσειν εἰς μάχην στρατιάν, ἢ ὅπως ἄγειν ἡμέρας ἢ νυκτὸς, ἢ στενὰς ἢ πλατείας ὁδοὺς, ἢ ὀρεινὰς ἢ πεδινάς· ἢ ὅπως στρατοπεδεύεσθαι, ἢ ὅπως φυλακὰς νυκτερινὰς ἢ καὶ ἡμερινὰς καθιστάναι, ἢ ὅπως πρὸς πολεμίους προσάγειν, ἢ ἀπάγειν ἀπὸ πολεμίων, ἢ ὅπως παρὰ πόλιν πολεμίαν ἄγειν, ἢ ὅπως πρὸς τεῖχος ἄγειν ἢ ἀπάγειν, ἢ ὅπως νάπας ἢ ποταμοὺς διαβαίνειν, ἢ ὅπως ἱππικὸν φυλάττεσθαι, ἢ ὅπως ἀκοντιστὰς ἢ τοξότας· καὶ εἴ γε δή σοι κατὰ κέρας ἄγοντι οἱ πολέμιοι ἐπιφανεῖεν, πῶς χρὴ ἀντικαθιστάναι· καὶ εἴ σοι ἐπὶ φάλαγγος ἄγοντι ἄλλοθέν ποθεν οἱ πολέμιοι φανεῖεν, ἢ κατὰ

Quòd si aliquando necessitas obveniat, ut et in æquo campi, et marte aperto, et armatis utrisque prælium conserendum sit, in hoc certè, fili, rerum statu, adjumenta quibus superiores evadamus, multò antè comparata, plurimùm valent. Hæc autem esse dico, cùm corpora militum probè fuerint exercitata, animíque probè exacuti sint, et militares artes probè excultæ. Præterea hoc etiam certò scias necesse est, quoscunque censeas æquum esse tibi parere, eos item omnes existimaturos æquum esse, ut tu rebus eorum consulas. Nunquam igitur curam abjicias, sed noctu provideas quid subjectos imperio tuo facere velis, ubi dies advenerit; interdiu verò, quo pacto se res nocturnæ quàm optimè sint habituræ. Quâ verò ratione oporteat exercitum ad pugnam instruere, quo pacto vel interdiù vel noctu, vel per angustas vel latas, vel per montosas vel campestres vias ducere: quo pacto metari castra, quo pacto nocturnas diurnásve excubias constituere, quo pacto ad hostes accedere vel ab hostibus recedere, quo pacto propter urbem hostilem iter facere, quo pacto *exercitum* ad murum adducere vel abducere, quo pacto saltus vel fluvios transire, quo pacto à copiis equestribus vel à jaculatoribus vel à sagittariis cavere: et si quidem tibi *exercitum* in cornua explicatum ducenti se ostendant hostes, quâ ratione eis sit obsistendum; et si tibi *eum* phalangis in morem instructum ducenti ex aliâ quâvis

a. Καὶ ἐν τῷ ἰσοπέδῳ, καὶ, &c.] In vulgatis, ἐν τῷ ἰσοπέδῳ ἐκ τοῦ ἐμφανοῦς ὡπλισμένους καὶ ἀμφοτέρους, &c. prætermissâ scil. priori καὶ, alterâ verò è suo loco in alienum translatâ. Bodleiani MS. lectionem nos admisimus, cui ferè nomen suum dedit olim Muretus.

πρόσωπον, ὅπως χρὴ ἀντιπαράγειν· ἢ ὅπως τὰ τῶν πολεμίων ἄν τις μάλιστα αἰσθάνοιτο, ἢ ὅπως τὰ σὰ ἥκιστα οἱ πολέμιοι εἰδεῖεν· ταῦτα δὲ πάντα τί ἂν ἐγὼ λέγοιμί σοι; Ὅσα τε γὰρ ἐγὼ ᾔδειν, πολλάκις ἀκήκοας· ἄλλως τε εἴ τις ἐδόκει τὶ τούτων ἐπίστασθαι, οὐδενὸς αὐτῶν ἠμέληκας, οὐδ' ἀδαὴς γεγένησαι. Δεῖ οὖν πρὸς τὰ συμβαίνοντα, οἶμαι, τούτοις χρῆσθαι, ὁποίοις ἄν σοι ἀεὶ συμφέρειν τούτων δοκῇ. Μάθε δέ μου, ὦ παῖ, καὶ τάδε, ἔφη, τὰ μέγιστα· παρὰ γὰρ ἱερὰ καὶ οἰωνοὺς μήτ' ἐν σαυτῷ μηδέποτε, μηδ' [a] ἐν τῇ στρατιᾷ, κινδυνεύσῃς· κατανοῶν, ὡς ἄνθρωποί μὲν αἱροῦνται πράξεις εἰκάζοντες, εἰδότες δὲ οὐδὲν ἀπὸ ποίας ἔσται αὐτοῖς τἀγαθόν. Γνοίης δ' ἂν ἐξ αὐτῶν τῶν γιγνομένων. Πολλοὶ μὲν γὰρ ἤδη [b] πόλεις ἔπεισαν, καὶ ταῦτα οἱ δοκοῦντες σοφώτατοι εἶναι, πόλεμον ἄρασθαι πρὸς τούτους, ὑφ' ὧν οἱ πεισθέντες ἐπιθέσθαι ἀπώλοντο. Πολλοὶ δὲ πολλοὺς ηὔξησαν ἤδε καὶ ἰδιώτας καὶ πόλεις, ὑφ' ὧν αὐξηθέντων τὰ μέγιστα κακὰ ἔπαθον. Πολλοὶ δὲ, οἷς ἐξῆν φίλοις χρῆσθαι, καὶ εὖ ποιεῖν καὶ εὖ πάσχειν, τούτοις δούλοις μᾶλλον βουληθέντες ἢ φίλοις χρῆσθαι, ὑπ' αὐτῶν τούτων δίκην ἔδοσαν. Πολλοῖς δ' οὐκ ἤρκεσεν αὐτοῖς τὸ μέρος ἔχουσι ζῆν ἡδέως, ἐπιθυμήσαντες δὲ πάντων κύριοι εἶναι, διὰ ταῦτα καὶ ὧν εἶχον

parte, quàm à fronte, appareant, quo pacto ducendus sit in eos exercitùs; quâ quis ratione possit quid hostes rerum agant cognoscere, vel tu quid instituas hostes minimè sciant: hæc, *inquam*, omnia quid ego tibi commemorem? Nam et quæcunque ego noveram, audîsti sæpiùs; et præterea si qui horum aliquid callere videbantur, eorum neminem neglexisti, nec imperitus evasisti. Quapropter ad *quælibet*, opinor, eventa his uti oportet *monitis*, quæcunque ex iis tibi quovis temporè ex usu potissimùm fore videbuntur. Hæc etiam ex me, fili, maximi *sane* momenti discito: nunquam vel ipse *solus*, vel cum exercitu, contrà quàm sacra monent et auguria, periculum adieris; *illud* cogitans, homines conjecturis nixos res gerendas suscipere, et planè nescios esse undè boni aliquid sit ipsis eventurum. Id quod ex ipsis rerum eventibus intelligas licet. Multi enim iique sapientissimi habiti, civitatibus persuaserunt, ut bellum adversus eos moverent, à quibus illi, qui *alios* invadere persuasi fuerant, sunt deleti. Multi multos et privatos homines et respublicas ad majora provexerunt, à quibus promotis gravissima mala passi sunt. Multi, cùm eos, quibus amicis uti poterant, collatis *in ipsos* et accceptis beneficiis, servorum quàm amicorum loco habere maluerint, iisdem pœnas dedêre. Multi vitâ jucundâ cum pártis *alicujus* possessione *conjunctâ* non contenti, cùm omnia suam in potestatem redigere cuperent, idcircò iis etiam quæ possidebant exciderunt: multi *de-*

a Ἐν τῇ στρατιᾷ] Ἐν hic potestatem habet τοῦ μετὰ, perinde atque Luc. xiv. 31. ———— εἰ δυνατός ἐστιν ἐν δέκα χιλιάσιν ἀπαντῆσαι. ————

b Πόλεις ἔπεισαν] Suspectum nonnullis est illud πόλεις, pro quo in quibusdam editis πολλὰς ad marginem notatum est. Leunclavius Xenophontem πλείστους scripsisse putat. Nulla tamen satis idonea videtur antiquæ lectionis rejiciendæ ratio.

ἀπέτυχον· πολλοὶ δὲ τὸν πολύευκτον χρυσὸν κτησάμενοι, διὰ τοῦτον ἀπώλοντο. [a] Οὕτως ἥ γε ἀνθρωπίνη σοφία οὐδὲν μᾶλλον οἶδε τὸ ἄριστον αἱρεῖσθαι, ἢ εἰ κληρούμενος, ὅ,τι λάχοι, τοῦτό τις πράττοι. Θεοὶ δὲ, ὦ παῖ, αἰεὶ ὄντες πάντα ἴσασι, τὰ γεγενημένα, καὶ τὰ ὄντα, καὶ ὅ,τι ἐξ ἑκάστου αὐτῶν ἀποβήσεται· καὶ τῶν συμβουλευομένων ἀνθρώπων οἷς ἂν ἵλεῳ ὦσι, προσημαίνουσιν ἅ τε χρὴ ποιεῖν, καὶ ἃ οὐ χρή. Εἰ δὲ μὴ πᾶσιν ἐθέλουσι συμβουλεύειν, οὐδὲν θαυμαστόν· οὐ γὰρ ἀνάγκη αὐτοῖς ἐστιν, ὧν ἂν μὴ θέλωσιν, ἐπιμελεῖσθαι.

nique aurum tantopere votis *omnium* expetitum adepti, ob hoc *ipsum* periêre. Itaque humana quidem sapientia nihilo magis quod optimum est deligere novit, quàm si quis sortibus ductis, hoc agat, quod ei sorte obtigerit. Verùm dii, fili, immortales omnia nôrunt, præterita, et præsentia, et quis singulorum futurus sit exitus: et hominibus *eos* consulentibus, quibus *quidem* sunt propitii, quæ suscipienda vel non suscipienda sint, antè significant. At non omnibus eos consulere velle, minimè mirum *videri debet*; neque enim necessitate sunt coacti illorum curam gerere, quos *benevolentiâ suâ complecti* nolint.

a Οὕτως ἥ γε ἀνθρωπίνη, &c.] Nihil gravius, nihil Scholâ illâ dignius, ex quâ quasi sancto quodam augustoque fonte non hæc tantùm divina planè conclusio, sed et præcedens omnis, quatenùs ad mores spectat pietatemque, manavit oratio. Jam vero nec inusitatum est, nec sanè, ut opinor, ægrè ferendum, Historicos rerum gestarum expositioni salubria quædam subindè admiscere monita, præceptisque amicis adeò legentium pectora formanda curare. Patris certè erat talia docere filium in aleam belli jam jam profecturum. Sed de pietate eâ, omníque adeo dicendi elegantiâ, quæ in Scriptis Xenophonteis ubique ferè elucet, alium jam statuimus disserendi locum.

ΞΕΝΟΦΩΝΤΟΣ

ΚΥΡΟΥ ΠΑΙΔΕΙΑΣ Β'.

'ΤΟΙΑΥΤΑ μὲν δὴ ἀφίκοντο διαλεγόμενοι μέχρι τῶν ὁρίων τῆς Περσίδος· ἐπεὶ δὲ αὐτοῖς ἀετὸς δεξιὸς φανεὶς προηγεῖτο, προσευξάμενοι θεοῖς καὶ ἥρωσι, τοῖς Περσίδα γῆν κατέχουσιν, ἵλεως καὶ εὐμενεῖς πέμπειν σφᾶς, οὕτω διέβαινον, τὰ ὅρια. Ἐπειδὴ δὲ διέβησαν, προσηύχοντο αὖθις θεοῖς, τοῖς Μηδίαν γῆν κατέχουσιν, ἵλεως καὶ εὐμενεῖς δέχεσθαι αὐτούς. Ταῦτα δὲ ποιήσαντες, ἀσπασάμενοι ἀλλήλους, ὥσπερ εἰκὸς, ὁ μὲν πατὴρ πάλιν εἰς Πέρσας ἀπῄει, Κῦρος δὲ εἰς Μήδους πρὸς Κυαξάρην ἐπορεύετο. Ἐπεὶ δὲ ἀφίκετο ὁ Κῦρος εἰς Μήδους πρὸς τὸν Κυαξάρην, πρῶτον μὲν, ὥσπερ εἰκὸς, ἠσπάσαντο ἀλλήλους· ἔπειτα δὲ ἤρετο τὸν Κῦρον ὁ Κυαξάρης, πόσον τι ἄγοιτο στράτευμα. Ὁ δ' ἔφη, τρισμυρίους μὲν, οἳ καὶ πρόσθεν ἐφοίτων πρὸς ὑμᾶς μισθοφόροι· ἄλλοι δὲ καὶ τῶν οὐδεπώποτε ἐξελθόντων προσέρχονται τῶν ὁμοτίμων. Πόσοι τινές; ἔφη ὁ Κυαξάρης. Οὐκ ἂν ὁ ἀριθμός σε, ἔφη ὁ Κῦρος, ἀκούσαντα

εἶναι, [a]παραγγέλλοντα τὸν ὕϛερον λόχον παράγειν, καὶ τὸν τρίτον, καὶ τὸν τέταρτον, εἰς μέτωπον· ἐπεὶ δὲ ἐν μετώπῳ οἱ λοχαγοὶ ἐγένοντο, παρηγγύησεν εἰς δύο ἄγειν τὸν λόχον· ἐκ τούτου δὴ παρῆγον οἱ δεκάδαρχοι εἰς μέτωπον· ὁπότε δὲ αὖ ἐδόκει αὐτῷ καιρὸς εἶναι, παρήγγειλεν [b]εἰς τέτταρας ἄγειν τὸν λόχον· οὕτω δὴ οἱ πεμπάδαρχοι αὖ παρῆγον, ὡς εἰς τέσσαρας ἴοι ὁ λόχος· ἐπειδὴ δὲ ἐπὶ τῇ θύρᾳ τῆς σκηνῆς ἐγένοντο, [c]παραγγείλας αὖ εἰς ἕνα ἰέναι, οὕτως εἰςῆγε τὸν πρῶτον λόχον, καὶ τὸν δεύτερον τούτου κατ' οὐρὰν ἕπεσθαι ἐκέλευε· καὶ τὸν τρίτον καὶ τὸν τέταρτον ὡσαύτως παραγγείλας, ἡγεῖτο εἴσω· οὕτω δὴ εἰςαγαγὼν κατέκλινεν ἐπὶ τὸ δεῖπνον, ὥςπερ εἰςεπορεύοντο· τοῦτον ὁ Κῦρος ἀγασθεὶς τῆς τε πρᾳότητος, καὶ τῆς διδασκαλίας, καὶ τῆς ἐπιμελείας, ἐκάλεσεν αὖ καὶ ταύτην

videbatur, jubentem secundum manipulum promovere in frontem, et *dein* tertium, et quartum: cùm autem in fronte jam manipulorum duces essent, mandabat in binos *explicatum* manipulum ducerent: deinde igitur decuriones in frontem promovebant: rursùs cùm opportunum ipsi visum esset, imperabat in quaternos *explicatum* manipulum ducerent: atque ità quinqueviorum duces etiam procedebant, ut in quaternos manipulus *explicatus* iret: postquam verò ad tabernaculi fores pérventum esset, tum signo dato jubens ut rursùs singulatim incederent, manipulum primum introducebat, et alterum jubebat hunc à tergo sequi; et cùm tertio itidem quartóque præcepisset, ducebat intrò: atque ità cùm eos introduxisset, eodem jussit ordine discumbere, quo ingressi essent: hunc *ergò* Cyrus admiratus, et ob mansuetudinem, et disciplinam, et diligentiam, hanc quoque unà cum præ-

qui locum Auctoris alicujus exponunt, vertique debet, *videndum verò nè fortè*, subaudito sc. ὅρα. Eustathius autem ad Il. ρ'. p. 1833. de vocibus ἄριϛον, δεῖπνον et δόρπον, quæ apud Æschylum simul occurrunt, hæc habet; εἰ δὲ μέμνηται ἀρίϛυ καὶ δείπνυ καὶ δόρπυ, ἀλλ' αὐτὰ δύο εἰσὶν, οἷα συνωνυμούντων τοῦ δείπνου καὶ τοῦ ἀρίϛου, καὶ τοῦ αὐτοῦ, ποτὲ μὲν ἀρίϛυ, ποτὲ δὲ δείπνου, ὀνομαζομένου.

a Παραγγέλλοντα τὸν ὕϛερον, &c.] Rectè notat Cl. Bos in *Observat. miscel.* Interpretem locum hunc parum intellexisse, qui παραγγέλλοντα τὸν ὕϛερον, &c. sic reddidit, *posteriorem manipulum, præterito tertio et quarto, in frontem procedere jubet.* Hæc enim non est mens Auctoris, quòd Centurio ille juberet posteriorem tantùm manipulum in frontem procedere, sed omnes quatuor; nam alioqui fieri non posset, ut οἱ λοχαγοὶ ἐν μετώπῳ essent, quatuor scilicet, ut mox sequitur. Quarè τὸ παράγειν hìc non est *præterire*, vel *præteritis aliis procedere*, sed *promovere ab altitudine in longitudinem*, quod fit ad porigendam frontem, ut docent Tactici: et ὕϛερος hìc est *qui priorem sequitur*, idem quod δεύτερος: nam ut hìc λόχον ὕστερον, τρίτον, τέταρτον, ità mox δεύτερον τοῦτυ, τρίτον, τέταρτον habet. Stephanus etiam δεύτερον, pro ὕστερον, laudat in margine: sed mutatione istâ non opus est.

b Εἰς τέτταρας ἄγειν] Deest in plerisque libris illud ἄγειν: quod tamen, à Stephano et Leunclavio admissum, omninò recipiendum putamus.

c Παραγγείλας αὖ, &c.] Libri alii dant παραγγείλας δύο εἰς ἕνα ἰόντων, εἰςῆγε, &c. alii,———δύο εἰς ἕνα ἰέναι τούτων, εἰςῆγε, &c. Placet Stephano, Leunclavio et Brodæo, pro ἰόντων reponere ἰέναι. Stephanus etiam οὕτως, potiùs quàm τούτων, ante εἰςῆγε locum posse habere existimat: et, tum eo, tum Leunclavio teste, Camerarius αὖ, non δύο, post παραγγείλας, in manu exaratis repperit. Locus omninò turbatus est; nec ulla ex his omnibus, quæ circumferuntur, lectionibus sensum exhibet idoneum. Iis itaque inter se collatis, et conjecturis Stephani et Leunclavii in auxilium vocatis, aliam scripturam ex prioribus illis concinnatam, damus; quæ ut sensum haud incommodum præstat

τὴν τάξιν ἐπὶ τὸ δεῖπνον σὺν τῷ ταξιάρχῳ. Παρὼν δέ τις ἐπὶ τὸ δεῖπνον κεκλημένος ἄλλος ταξίαρχος, Τὴν δ' ἐμὴν, ἔφη, ὦ Κῦρε, τάξιν οὐ καλεῖς εἰς τὴν σκηνήν; καὶ μὴν ὅταν γε παρῇ ἐπὶ τὸ δεῖπνον, ταῦτα πάντα ποιεῖ· καὶ ὅταν τέλος ἡ σκηνὴ ἔχῃ, ἐξάγει μὲν ὁ οὐραγὸς τοῦ τελευταίου λόχου τὸν λόχον, ὑςάτους ἔχων τοὺς πρώτους εἰς μάχην τεταγμένους· ἔπειτα δὲ ὁ οὐραγὸς τοῦ ἑτέρου λόχου ἐπὶ τούτοις, καὶ ὁ τρίτος καὶ ὁ τέταρτος ὡςαύτως· ὅπως ϗ ὅταν δέῃ ἀπάγειν ἀπὸ πολεμίων, ἐπίςωνται ὡς δεῖ ἀπιέναι. Ἐπειδὰν δὲ καταςῶμεν εἰς τὸν δρόμον, ἔνθα περιπατοῦμεν, ὅταν μὲν πρὸς ἕω ἴωμεν, ἐγὼ ἡγοῦμαι, καὶ ὁ πρῶτος λόχος, πρῶτος, ϗ ὁ δεύτερος ὡς δεῖ, καὶ ὁ τρίτος, καὶ ὁ τέταρτος, καὶ αἱ [a]τῶν λόχων δεκάδες καὶ πεμπάδες, ἕως ἂν παραγγέλλω ἐγώ· ὅταν δ', ἔφη, πρὸς ἑσπέραν ἴωμεν, ὁ οὐραγός τε καὶ οἱ τελευταῖοι πρῶτοι ἀφηγοῦνται. Ἐμοὶ μέντοι ὅμως πείθονται ὑςέρῳ ἰόντι, ἵνα ἐθίζωνται καὶ ἕπεσθαι, καὶ ἀφηγεῖσθαι, ὁμοίως πειθόμενοι. Καὶ ὁ Κῦρος ἔφη, Ἦ καὶ ἀεὶ τοῦτο ποιεῖτε; Ὁποσάκις γε, ἔφη, ϗ δειπνοποιούμεθα, νὴ Δία. Καλῶ τοίνυν, ἔφη, ὑμᾶς, ἅμα μὲν ὅτι τὰς τάξεις μελετᾶτε καὶ προςιόντες ϗ ἀπιόντες, ἅμα δὲ ὅτι καὶ ἡμέρας ϗ νυκτὸς, ἅμα δὲ ὅτι τά τε σώματα περιπατοῦντες ἀσκεῖτε, ϗ τὰς ψυ-

fecto cohortem ad cœnam invitavit. Cum autem alius quidam cohortis præfectus ad cœnam vocatus adesset, Meam verò, inquit, cohortem ad *tuum hoc* tabernaculum, Cyre, non invitas? atqui *illa* quoties ad cœnam venit, hæc omnia facit; et ubi finis convivio fiat, extremus ultimi manipuli ductor *suum* manipulum educit, qui *quidem* postremos habet primo ad pugnam loco dispositos; deindè post hos extremus alterius manipuli ductor, similique ratione et tertius et quartus; ut etiam quando necesse sit ab hostibus pedem referre, sciant, quo pacto recedere oporteat. Postquam verò in curriculo constitimus, ubi deambulamus, cùm quidem versùs ortum progredimur, ego præire soleo, et primus manipulus primum habet locum, et alter suum, et tertius et quartus, ac manipulorum decuriæ, et quiniones, donec ego jubeam: cùm verò versus occidentem progredimur, *tum* et extremi ductor agminis et *cum eo* postremi primo loco sunt in abitu duces. Ac nihilominùs parent mihi qui proficiscor ultimus, ut et sequi et præire pari cum obedientiâ consuescant. Et Cyrus, inquit, Hoccine semper facitis? Profectò, respondit ille, quoties cœnam instruimus. Vos igitur, inquit, *ad cœnam* voco, partim quòd et in accedendo et in abeundo studiosè servatis ordines, partim quòd *illud* et interdiu et noctu *facitis*,

ità huic loco satìs convenire videatur, in quo plus vice simplici has ipsas particulas, αὖ at οὕτω, consimili modo adhibuit Auctor.

a Τῶν λόγων] Pro μοναγῶν quod libri quidam pessimè repræsentant, Stephanus et Leunclavius λόχων rectè posuêre, re ipsâ duce, assentientéque etiam MSto Bodleiano.

χὰς ᵃ ὠφελεῖτε διδάσκοντες. Ἐπεὶ οὖν πάντα διπλᾶ ποιεῖτε, διπλῆν ὑμῖν δίκαιον καὶ τὴν εὐωχίαν παρέχειν. Μὰ Δί', ἔφη ὁ ταξίαρχος, μήτοιγε ἐν μιᾷ ἡμέρᾳ· εἰ μὴ καὶ διπλᾶς τὰς γαστέρας ἡμῖν παρέξεις. Καὶ τότε μὲν δὴ οὕτω τὸ τέλος τῆς σκηνῆς ἐποιήσαντο. Τῇ δ' ὑστεραίᾳ ὁ Κῦρος ἐκάλεσε ταύτην τὴν τάξιν, ὥσπερ ἔφη, καὶ τῇ ἄλλῃ. Αἰσθανόμενοι δὲ ταῦτα καὶ οἱ ἄλλοι, τολοιπὸν πάντες αὐτοὺς ἐμιμοῦντο.

Ἐξέτασιν δὲ ποτὲ τοῦ Κύρου πάντων ποιουμένου ἐν τοῖς ὅπλοις καὶ σύνταξιν, ἦλθε παρὰ Κυαξάρου ἄγγελος, λέγων ὅτι Ἰνδῶν παρείη πρεσβεία· Κελεύει οὖν σε ἐλθεῖν ὡς τάχιστα. Φέρω δέ σοι, ἔφη ὁ ἄγγελος, καὶ στολὴν τὴν καλλίστην παρὰ Κυαξάρου· βούλεται γάρ σε ὡς εὐκοσμότατα καὶ λαμπρότατα προσελθεῖν, ὡς ὀψομένων τῶν Ἰνδῶν ὅπως ἂν προσίῃς. Ἀκούσας ταῦτα ὁ Κῦρος παρήγγειλε τῷ πρώτῳ τεταγμένῳ ταξιάρχῳ εἰς μέτωπον στῆναι, ἐφ' ἑνὸς ἄγοντα τὴν τάξιν, ἐν δεξιᾷ ἔχοντα ἑαυτόν· καὶ τῷ δευτέρῳ ἐκέλευσε ταὐτὰ τοῦτον παραγγεῖλαι, καὶ διὰ πάντων οὕτω παραδιδόναι ἐκέλευσεν. Οἱ δὲ πειθόμενοι ταχὺ μέντοι παρήγγελλον, ταχὺ δὲ τὰ παραγγελλόμενα ἐποίουν· ἐν ὀλίγῳ δὲ χρόνῳ ἐγένετο τὸ μὲν μέτωπον ᵇἐπὶ διακοσίων, (τοσοῦτοι γὰρ ἦσαν οἱ ταξίαρχοι) τὸ δὲ βάθος

partim quòd et corpora deambulando exercetis, et animos docendo meliores redditis. Quandoquidem igitur omnia duplicia facitis, æquum est vobis etiam duplex epulum præberi. Minimè profectò, ait cohortis *illius* præfectus, uno quidem die; nisi nobis duplices etiam ventres dabis. Ac tum quidem hoc pacto finem hujus convivii fecêre. Postridiè autem Cyrus illum ordinem, quemadmodùm dixerat, et sequenti die vocavit. Quæ cùm cæteri animadverterent, omnes deinceps eos imitabantur.

Cùm autem Cyrus aliquando *militem* universum in armis lustraret et instrueret, à Cyaxare venit nuntius, qui diceret ab Indis legatos adesse: Quapropter te quamprimùm *ad se* venire jubet *Cyaxares*. Quin et vestem, inquit nuntius, pulcherrimam à Cyaxare tibi fero: te enim quàm ornatissimè splendidissimèque advenire cupit: quippe quia Indi spectaturi sunt, quo cultu accedas. Hæc cùm audisset Cyrus, imperavit præfecto cohortis loco primo in acie constituto, ut in fronte consisteret, cohorte singulatim ductâ, latus ipse dextrum tenens: et jussit hunc eadem secundo imperare, et per omnes sic *imperata* tradi jussit. Illi dicto audientes et celeriter quidem *hæc* imperant, et celeriter imperata faciunt: brevíque tempore frons ad ducentos, (tot enim erant cohortium præfecti) altitudo

a Ὠφελεῖτε] Stephanus primus verbum hoc à margine ad proprium suum locum revocavit: quam emendationem præcedentium verborum περιπατοῦντες ἀσκεῖτε, structura postulat, firmátque MSti Bodl. auctoritas. Alii autem libri dant ὠφελεῖν.

b Ἐπὶ διακοσίων] Hanc scripturam omnes libri tuentur; pro eâ tamen τριακοσίων reponi debere contendit Leunclavius. Cùm enim, inquit, xxxcıɔ Persarum in exercitu Cyri fuerint, et hos omnes tunc lustratos instructósque fuisse paulò ante memoretur; necesse erit hìc, pro ἐπὶ διακοσίων, scribi. ἐπὶ τριακοσίων: cùm centies

ἐφ' ἑκατόν. Ἐπεὶ δὲ κατέστησαν, ἕπεσθαι ἐκέλευσεν ὡς ἂν αὐτὸς ἡγῆται· καὶ εὐθὺς τροχάζων ἡγεῖτο. Ἐπεὶ δὲ κατενόησε τὴν ἀγυιὰν, τὴν πρὸς τὸ βασίλειον φέρουσαν, στενοτέραν οὖσαν, ἢ ὡς ἐπὶ μετώπου πάντας ἰέναι, [a] παραγγείλας τὴν πρώτην χιλιοστὺν ἕπεσθαι κατὰ χώραν, τὴν δὲ δευτέραν κατ' οὐρὰν ταύτης ἀκολουθεῖν, καὶ διαπαντὸς οὕτως, αὐτὸς μὲν ἡγεῖτο οὐκ ἀναπαυόμενος, αἱ δὲ ἄλλαι χιλιοστύες κατ' οὐρὰν ἑκάστη τοῖς ἔμπροσθεν εἵποντο. Ἔπεμψε δὲ καὶ ὑπηρέτας δύο ἐπὶ στόμα τῆς ἀγυιᾶς, ὅπως εἴ τις ἀγνοοίη, σημαίνοιεν τὸ δέον ποιεῖν. Ὡς δὲ ἀφίκοντο ἐπὶ τὰς Κυαξάρους θύρας, παρήγγειλε τῷ πρώτῳ ταξιάρχῳ τὴν τάξιν εἰς δώδεκα τάττειν βάθος, τοὺς δὲ δωδεκάρχας ἐν μετώπῳ καθιστάναι περὶ τὸ βασίλειον· καὶ τῷ δευτέρῳ ταυτὰ ἐκέλευσε παραγγεῖλαι, καὶ διαπαντὸς οὕτως. Οἱ μὲν δὴ ταῦτ' ἐποίουν· ὁ δ' εἰσῄει πρὸς τὸν Κυαξάρην ἐν τῇ Περσικῇ στολῇ [b] οὐδέν τι ὑβρισμένῃ. Ἰδὼν δὲ αὐτὸν ὁ Κυαξά-

agminis ad centum habuit. Cùm jam *hoc ordine* constitissent, eos ità sequi jussit, ut ipse præcederet: et mox citato gradu præcedebat. At ubi viam, quæ ad regiam tendebat, arctiorem esse animadvertisset, quàm ut omnes in fronte progredi possent, jussis primis *in ordine* millenis militibus *ità se* sequi, ut collocati fuerant, alterísque hos à tergo sequi, et cæteris *deinceps* omnibus eodem servato ordine *procedere*, ipse sine intermissione præibat, aliique milleni milites *totidem* præcedentes à tergo subsequebantur. Ministros etiam duos ad viæ aditum misit, qui, quid facto opus esset, si quem fugeret, significarent. Cùm autem Cyaxaris ad portam pervenissent, præfecto primæ cohortis imperat, sic cohortem instrueret, ut ejus altitudo duodenos contineret, præfectos autem duodenûm militum propter regiam in fronte constitueret; atque eadem secundo jubet imperari, et sic deinceps omnibus. Atque hæc illi quidem faciebant: *Cyrus* autem ipse ad Cyaxarem veste *indutus* Persicâ ambitionem minimè indicanti ingressus est. Et Cyaxares eum cùm vidisset, celeritate quidem delectabatur,

ducenti sint XXXCIƆ duntaxat, centies verò trecenti, XXCIƆ, qui numerus integer hujus exercitûs erat. Sic ille. At nihil forsan impedit, quo minùs statuamus, Cyri hanc phalangem ex XXCIƆ constitisse, reliqua autem XCIƆ alarum locum obtinuisse.

a Παραγγείλας τὴν, &c.] Sic rescripsi, Gabrielium et Camerarium secutus: Vulgò erat, παραγγείλας τὴν πρώτην χιλιοστὺν ἕπεσθαι κατὰ χώραν, τὴν δευτέραν κατ' οὐρὰν ταύτης ἀκολουθεῖν ἔταξε, καὶ διαπαντὸς οὕτως αὐτὸς μὲν, &c. Ego verò illud ἔταξε, à librariis additum, delendum, et notam distinctionis post οὕτως ponendam puto: sic demum facilis loci sensus exoritur, qui anteà omninò erat impeditus. Stephanus quidem vulgatam lectionem depravatam esse vidit; ideóque particulam δὲ inter τὴν et δευτέραν inserendam curavit, et ad illud ἔταξε positâ suspectæ lectionis notâ, in margine scribit aliam dari hujus loci lectionem, quæ non agnoscit ἔταξε nec καὶ ante διαπαντός.

b Οὐδέν τι ὑβρισμένῃ] Rectè notavit Cl. Lambertus Bos in *Observ. miscel.* ὑβρισμένον eleganter dici id quod *ambitiosum est*, et *insolenter ornatum*. Sic apud Eurip. *Phœnis.* v. 1118 et seq.

——————οὐ σημεῖ' ἔχων

Ὑβρισμέν', ἀλλὰ σωφρόνως ἄσημ' ὅπλα.

Ubi Scholiastes hæc: Οὐκ ἔχων—————σημεῖα ὑπερήφανα καὶ μετ' ἀλαζονείας. Ælian. item *Var. Hist.* lib. 1. c. 31. ubi agit de lege Persarum, quando Rex in Perside equitat, omnes, inquit, ei munera offerunt,

ῆς, τῷ μὲν τάχει ἥσθη, τῇ δὲ φαυλότητι τῆς στολῆς ἠχθέσθη, καὶ εἶπε, Τί τοῦτο, ὦ Κῦρε; οἷον πεποίηκας, οὕτω φανεὶς τοῖς Ἰνδοῖς; Ἐγὼ δ', ἔφη, ἐβουλόμην σε ὡς λαμπρότατον φανῆναι· καὶ γὰρ ἐμοὶ κόσμος ἂν ἦν τοῦτο, ἐμῆς ὄντα ἀδελφῆς υἱὸν, ὅτι μεγαλοπρεπέστατον φαίνεσθαι. Καὶ ὁ Κῦρος πρὸς ταῦτα εἶπε, Καὶ ποτέρως ἂν, ὦ Κυαξάρη, μᾶλλόν σε ἐκόσμουν, εἴπερ πορφυρίδα ἐνδὺς, καὶ ψέλλια λαβὼν, καὶ στρεπτὸν περιθέμενος, σχολῇ κελεύοντι ὑπήκουόν σοι, ἢ νῦν ὅτε σὺν τοσαύτῃ καὶ τοιαύτῃ δυνάμει οὕτως ὀξέως σοι ὑπακούω, διὰ τὸ σὲ τιμᾷν, ἱδρῶτι καὶ σπουδῇ καὶ αὐτὸς κεκοσμημένος, καὶ σὲ κοσμῶν, καὶ τοὺς ἄλλους ἐπιδεικνύς σοι οὕτω πειθομένους; Κῦρος μὲν οὖν ταῦτα εἶπεν· ὁ δὲ Κυαξάρης νομίσας αὐτὸν ὀρθῶς λέγειν, ἐκέλευσεν ἄγειν τοὺς Ἰνδούς. Οἱ δ' Ἰνδοὶ εἰσελθόντες ἔλεξαν ὅτι πέμψειε σφᾶς ὁ Ἰνδῶν βασιλεὺς, καὶ κελεύσειεν ἐρωτᾷν, ἐξ ὅτου ὁ πόλεμος εἴη Μήδοις τε καὶ τῷ Ἀσσυρίῳ· ἐπεὶ δέ σου ἀκούσαιμεν, ἐκέλευσεν αὖ ἐλθόντας πρὸς τὸν Ἀσσύριον καὶ ἐκείνου τὰ αὐτὰ ταῦτα πυθέσθαι· τέλος δ' αὖ ἀμφοτέροις ὑμῖν εἰπεῖν ὅτι ὁ Ἰνδῶν βασιλεὺς, τὸ δίκαιον σκεψάμενος, φαίη μετὰ τοῦ ἀδικουμένου ἔσεσθαι. Πρὸς ταῦτα ὁ Κυαξάρης εἶπεν, Ἐμοῦ τοίνυν ἀκούετε, ὅτι οὐκ ἀδικοῦμεν τὸν Ἀσσύριον οὐδέν· ἐκείνου δ' ἐλθόντες πυνθάνεσθε ὅ,τι λέγει. Παρὼν δὲ ὁ Κῦρος ἤρετο τὸν Κυαξάρην, Ἦ καὶ ἐγὼ, ἔφη, εἴπω ὅ,τι γιγνώσκω; Καὶ ὁ Κυαξάρης ἐκέλευ-

at vilitate vestis offensus erat, dixitque, Quid hoc, Cyre, est? cujusmodi rem facis, qui habitu tali in conspectum Indorum venis? Ego verò te quàm splendidissimum conspici volebam: nam hoc mihi ornamento fuisset, *te*, meæ sororis filium, quàm magnificentissimè ornatum conspici. Et Cyrus ad hæc respondit, Utro te modo, Cyaxares, magis ornâssem, si purpurâ indutus, adhibitis armillis, et torquatus, tibi mandanti lentè paruissem, an nunc *potiùs*, cùm tali tantóque *stipatus* exercitu, tam velociter, honoris tui causâ, tibi pareo, sudore et celeritate cùm ipse ornatus *adsum*, tum te orno, et cæteros *etiam* tibi tantoperè obsequentes exhibeo? Cyrus sanè hæc dixit: Cyaxares autem eum rectè dicere arbitratus, Indos introduci jussit. Indi verò ingressi se missos à rege Indorum aiebant, et jussos interrogare, quâ de re bellum inter Medos et Assyrium *susceptum* esset; ac te *quidem* postquam audissemus, *nos* ad Assyrium quoque proficisci, et de his ipsis ab illo etiam percunctari jussit: tandem verò utrique vestrûm nuntiare, regem Indorum dicere, se juris *et æqui* ratione habitâ, staturum ab illo cui fieret injuria. Ad hæc respondit Cyaxares, Me igitur audite, nullâ nos omninò injuriâ Assyrium afficere: quid ipse dicat, profecti *ad eum* exquirite. Cyrus autem, qui aderat, Cyaxarem interrogavit, *et*, Num ipse etiam,

agricolæ et opifices, sed οὐδὲν τῶν ὑβρισμένων, οὐδὲ τῶν ἄγαν πολυτελῶν, i. e. *nihil eorum quæ ambitiosa, aut valdè pretiosa sunt.* Et à Xenophonte quidem ipso mox exponitur στολὴ οὐδέν τι ὑβρισμένη, per στολὴν φαύλην, *vilem stolam*, sive, per φαυλότητα τῆς στολῆς.

σεν. Ὑμεῖς μὲν τοίνυν, ἔφη, ἀπαγγείλατε τῷ Ἰνδῶν βασιλεῖ τάδε, (εἰ μή τι ἄλλο δοκεῖ Κυαξάρει) ὅτι φαμὲν ἡμεῖς, εἴ τι φησὶν ὑφ' ἡμῶν ἀδικεῖσθαι ὁ Ἀσσύριος, αἱρούμεθα αὐτὸν τὸν τῶν Ἰνδῶν βασιλέα δικαστήν. Οἱ μὲν δὴ ταῦτα ἀκούσαντες ᾤχοντο. Ἐπειδὴ δὲ οἱ Ἰνδοὶ ἐξῆλθον, ὁ Κῦρος πρὸς τὸν Κυαξάρην ἤρχετο λόγου τοιοῦδε·

Ὦ Κυαξάρη, ἐγω μέντοι ἦλθον οὐδὲν τοι πολλὰ ἔχων ἴδια χρήματα οἴκοθεν· ὁπόσα δ' ἦν, τούτων πάνυ ὀλίγα λοιπὰ ἔχω· ἀνήλωκα, δὲ, ἔφη, εἰς τοὺς στρατιώτας· καὶ τοῦτο ἴσως θαυμάζεις σὺ, πῶς ἀνήλωκα ἐγω, σοῦ αὐτοὺς τρέφοντος. Εὖ ἴσθι, ἔφη, ὅτι οὐδὲν ἄλλο ποιῶν, ἢ τιμῶν καὶ χαριζόμενος, ὅταν τινὰ ἀγασθῶ τῶν στρατιωτῶν. Δοκεῖ γάρ μοι, ἔφη, πάντας μὲν οὓς ἂν τις βούληται ἀγαθοὺς συνεργοὺς ποιεῖσθαι ὁποιουτινοσοῦν πράγματος, ἥδιον. εἶναι εὖ τε λέγοντα καὶ εὖ ποιοῦντα παρορμᾷν, μᾶλλον ἢ λυποῦντα καὶ ἀναγκάζοντα· οὓς δὲ δὴ τῶν εἰς τὸν πόλεμον ἔργων ποιήσασθαί τις βούλοιτο συνεργοὺς προθύμους, τούτους παντάπασιν ἔμοι γε δοκεῖ ἀγαθοῖς θηρατέον εἶναι καὶ λόγοις καὶ ἔργοις. Φίλους γαρ, οὐκ ἐχθροὺς, δεῖ εἶναι τοὺς μέλλοντας ἀπροφασίστους συμμάχους ἔσεσθαι, καὶ μήτε ἐπὶ τοῖς ἀγαθοῖς τοῦ ἄρχοντος φθονήσοντας, μήτε ἐν τοῖς κακοῖς προδώσοντας. Ταῦτ' οὖν ἐγὼ οὕτω προγινώσκων, χρημάτων δοκῶ προσδεῖσθαι. Πρὸς μὲν οὖν σὲ πάντα ὁρᾷν, ὃν αἰσθάνομαι δαπανῶντα πολλὰ, ἄτοπόν μοι δοκεῖ εἶναι· σκο-

inquit, dicam quod sentio? Et Cyaxares *eum loqui* jussit. Vos igitur, ait, Indorum regi hæc nuntiate, (nisi quid aliud Cyaxari videatur) dicere nos, si quam à nobis *sibi* factam injuriam dicat Assyrius, ipsum nos Indorum regem judicem eligimus. His illi auditis abierunt. Cùm autem egressi essent Indi, Cyrus ad Cyaxarem hujusmodi sermone cœpit uti:

Equidem *ad te*, Cyaxares, veni, non multas *mecum* pecunias meas domo ferens; quæ autem *mihi* erant, earum exiguam admodùm summan reliquam habeo; quippe qui in milites, ait, *eas* expenderim: ac tu forsan miraris, quo pacto expenderim, eos cùm tu alas. *Verum* certò scias, inquit, me non aliter eas expendisse, quàm præmiis tribuendis et largiendo, quoties aliquem militum suspicerem. Nam mea hæc sententia est, inquit, omnes, quoscunque *sibi* quis fideles adjutores quâcunque in re gerendâ efficere velit, suavius esse benè tum dicendo tum faciendo potiùs *ad ejusmodi munus* excitare, quàm offendendo et cogendo: et quos quidem in rebus bellicis adjutores *sibi* alacres quispiam conciliare velit, eos omninò et dictis bonis et factis captandos arbitror. Amicos enim, non inimicos, oportet esse, qui sine excusatione *tergiversationéque* in bello socii futuri sint, nec in secundis imperatoris rebus invidi, nec in adversis futuri sint proditores. Hæc igitur ego cùm ità *apud animum* statuta habeam, pecuniis mihi pluribus opus esse puto. Cæterùm ad te in omnibus respicere, quem sumptus graves facere intelligo, mihi absurdum videtur: communiter

κεῖν δ' ἀξιῶ κοινῇ καὶ σὲ καὶ ἐμὲ, ὅπως σὲ μὴ ἐπιλείψῃ χρήματα. Ἢν γὰρ σὺ ἄφθονα ἔχῃς, οἶδ' ὅτι καὶ ἐμοὶ εἴη λαμβάνειν ὁπότε δεοίμην, ἄλλως τε καὶ εἰ εἰς τοιοῦτόν τι λαμβάνοιμι, [a] ὃ μέλλει καὶ σοὶ δαπανηθὲν βέλτιον εἶναι. Ἔναγχος οὖν ποτέ σου μέμνημαι ἀκούσας, [b] ὡς ὁ Ἀρμένιος καταφρονοίη σου νῦν, ὅτι ἀκούει τοὺς πολεμίους προσιόντας ἐφ' ἡμᾶς· καὶ οὔτε στράτευμα πέμποι, οὔτε τὸν δασμὸν, ὃν ἔδει, ἀπάγοι. Ποιεῖ γὰρ ταῦτα, ἔφη, ὦ Κῦρε, ἐκεῖνος· ὥστε ἐγώ τε ἀπορῶ, πότερόν μοι κρεῖττον στρατεύεσθαι καὶ πειρᾶσθαι ἀνάγκην αὐτῷ προσθεῖναι, ἢ λυσιτελεῖ ἐάσαι ἐν τῷ παρόντι, μὴ καὶ τοῦτον πολέμιον πρὸς τοῖς ἄλλοις προσθώμεθα. Καὶ ὁ Κῦρος ἐπήρετο, [c] Αἱ δ' οἰκήσεις αὐτῷ πότερον ἐν ἐχυροῖς χωρίοις εἰσὶν, ἢ ἐν εὐεφόδοις; Καὶ ὁ Κυαξάρης εἶπεν, Αἱ μὲν οἰκήσεις οὐ πάνυ ἐν

autem tibi et mihi providendum arbitror, nè te pecuniæ deficiant. Nam tibi si abundè suppetant, scio mihi quoque facultatem fore accipiendi, cùm opus erit; præsertim si *eas* in ejusmodi quendam usum accipiam, in quem quod expensum fuerit tibi etiam majus commodum adlaturum est. Nuper igitur audire de te memini, Armenium te nunc contemnere, qui hostes adversùm nos adventare audiat; ac neque copias mittere, neque tributum debitum adferre. Nimirum, inquit, facit hæc ille, Cyre: ut equidem dubius sim animi, utrum mihi melius sit bello *eum* adgredi et ad cogendum vires *nostras* conferre, an expediat in præsens missum eum facere, nè hunc etiam hostem cæteris illis adjungamus. Et Cyrus interrogabat, Num verò domicilia ejus munitis in locis *sita* sunt, an iis, quæ facilè adiri possint? Domicilia quidem *ejus*, respondit Cyaxares, non admodùm munitis in locis *sita*

a Ὃ μέλλει καὶ, &c.] Sub his verbis mendum delitescere suspicatur Stephanus, et vel legendum εἰς ὃ, vel ὃ in οὗ, *ubi*, mutandum, putat. At leniori forsan ellipseos ope locum sartum tectum præstare licet. Apud Auctores certè non desunt exempla præpositionis εἰς simili ferè modo ante suum casum subaudiendæ. Sic apud Thucyd. καὶ τῇ κρήνῃ, τῇ νῦν μὲν, τῶν τυράννων οὕτω σκευασάντων, Ἐννεακρούνῳ καλουμένῃ, τὸ δὲ πάλαι φανερῶν τῶν πηγῶν οὐσῶν, Καλλιῤῥόῃ ὠνομασμένῃ, ἐκείνῃ τε ἐγγὺς οὔσῃ, τὰ πλεῖστου ἄξια ἐχρῶντο, lib. 2. p. 94. edit. Oxon. Schol. ad hæc verba, τὰ πλεῖστου ἄξια ἐχρῶντο, inquit, λείπει εἰς· ἵν' ᾖ, εἰς τὰ πλεῖστου, &c.

b Ὡς ὁ Ἀρμένιος, &c.] Armenius nempè, cùm audisset Assyriorum regem tot gentes (pag. 45 et 50 suprà memoratas) ad arma contra Cyaxarem capienda concitâsse, ratus se jam felicem recuperandæ libertatis occasionem nactum esse, neque auxilium illi misit, neque tributum solvit; contra pacta conventa quæ, ab Astyage bello superatus, cum Medis hâc de re inierat. Accidit hæc Armenii defectio, ex Usserii sententiâ, anno M. 3447, Julianæ periodi 4157. ante æram Christianam 557. tertio autem regnantis Neriglissaris anno, qui Evilmerodacho in Assyriorum imperio successerat.

c Αἱ δ' οἰκήσεις αὐτῷ, &c.] Vulgò, αὐτῶν. Quæ utcunque ferri possit lectio, ei tamen hanc, quam damus, à Stephano meritò prælatam arbitror. Nam quæ præcedunt et mox sequuntur verba, ad ipsum Armeniæ Regem, non populum ejus imperio subjectum, potissimum spectant. Interpretes quoque veteres, Gabrielium volo et Philelphum, hanc nostram lectionem secutos video. Armeniæ autem, apud Auctores, plures nominantur montes; et de his *Paryadres*, qui dicitur, propter aquas, silvas, et præruptos vertices, tutissimum erat receptaculum. Et toti quidem regioni huic montes nomen dedisse videantur: Græcisque adeò fides haud habenda est, qui id eam ab *Armeno* quodam, Jasonis comite, traxisse finxerunt. Bochartum audio libentiùs, qui, in *Phaleg*. lib. 1. c. 3. putat הר-מני, quasi

ἐχυροῖς· ἐγὼ γὰρ τούτου οὐκ ἠμέλουν· ὄρη μέντοι ἐςὶν, ἔνθα δύναιτ' ἂν ἀπελθὼν, ἐν τῷ παραχρῆμα ἐν ἀσφαλεῖ εἶναι, τοῦ μήτ' αὐτός γε ὑποχείριος γενέσθαι, μηδὲ ὅσα ἐνταῦθα δύναιτο ὑπεκκομίσασθαι, εἰ μή τις πολιορκοίη προσκαθήμενος, ὥσπερ ὁ ἐμὸς πατὴρ ποτὲ ἐποίησεν. Ἐκ τούτου δὲ ὁ Κῦρος λέγει τάδε, Ἀλλ' εἰ θέλεις ἐμὲ πέμψαι, ἱππέας μοι προσθεὶς, ὁπόσοι δοκοῦσιν ἱκανοὶ εἶναι, οἶμαι ἂν, σὺν τοῖς θεοῖς, ποιῆσαι αὐτὸν καὶ τὸ ςράτευμα πέμπειν, καὶ ἀποδοῦναι τὸν δασμόν σοι· ἔτι δὲ ἐλπίζω καὶ φίλον αὐτὸν μᾶλλον ἡμῖν ἔσεσθαι ἢ νῦν ἐςι. Καὶ ὁ Κυαξάρης εἶπε, Καὶ ἐγὼ ἐλπίζω ἐκείνους ἐλθεῖν πρός σε μᾶλλον ἢ πρὸς ἡμᾶς. Ἀκούω γὰρ καὶ συνθηρευτάς τινας τῶν παίδων αὐτοῦ σοι γενέσθαι, ὥςε ἴσως ἂν καὶ πάλιν ἔλθοιεν πρός σε· ὑποχειρίων δὲ γενομένων τινῶν αὐτῶν, πάντ' ἂν πραχθείη, ᾗ ἡμεῖς βουλόμεθα. Οὐκοῦν δοκεῖ σοι, ἔφη ὁ Κῦρος, σύμφορον εἶναι, τὸ λεληθέναι ἡμᾶς ταῦτα βουλεύοντας; Μᾶλλον γ' ἂν οὖν, ἔφη ὁ Κυαξάρης, καὶ ἔλθοι τις αὐτῶν εἰς χεῖρας, καὶ εἴ τις ὁρμῷτο ἐπ' αὐτοὺς, ἀπαρασκευαςότεροι ἂν λαμβάνοιντο. Ἄκουε τοίνυν, ἔφη ὁ Κῦρος, ἤν τι σοὶ δόξω λέγειν. Ἐγὼ πολλάκις δὴ σὺν πᾶσι τοῖς μετ' ἐμοῦ Πέρσαις τεθήρακα ἀμφὶ τὰ ὅρια τῆς σῆς χώρας καὶ τῆς τῶν Ἀρμενίων, καὶ ἱππέας δὲ ἤδη

sunt; nam illam ego rem non neglexi: sunt tamen montes, in quos si se recipiat, statim *sic* tutus esse possit, ut nec ipse in potestatem alicujus redigi possit, nec quæcunque in illos clam subvehenda curaverit, nisi quis *eum* diutiùs ibidem hærendo obsideat, quemadmodùm pater meus olim fecit. Tum Cyrus hæc verba facit, Si autem mittere me voles, *tantâ* equitum manu mihi adjunctâ, quanta sufficere videatur, arbitror *me*, diis juvantibus, effecturum ut et copias mittat, et tributum tibi pendat: immò præter hæc spero confore ut nobis sit, quàm nunc est, amicior. Et Cyaxares inquit, Ego quoque spero illos ad te libentiùs accessuros, quàm ad nos. Nam quosdam ex ipsius liberis tecum *olim* venari solitos audio, iique adeò fortassis ad te rursùs accesserint: eorum verò quibusdam in potestatem *tuam* redactis, omnia confici ex animi nostri sententiâ possint. Nempè, inquit Cyrus, tibi conducere videtur, nostra hæc ut celentur consilia? Imò certè *hoc pacto*, ait Cyaxares, et faciliùs ipsorum aliquis in potestatem *nostram* venerit, et si quis in eos impetum faciat, minùs paratos deprehenderit. Audi igitur, inquit Cyrus, si aliquid dicere tibi videbor. Ego quidem sæpè cum omnibus, qui mecum sunt, Persis, ad tuæ Armeniorumque regionis fines venatus sum, atque etiam aliquando quibusdam equitibus hinc è nu-

montem *Minni*, primogenium nomen esse; in quâ opinione firmatum se dicit, Jonathanis Chaldæi et Symmachi interpretationibus ejusdem loci, Amos 4. 3. והשלכתנה ההרמונה quem Jonathan ita exponit מן טורי הרמיני *ultra montes Harmini.* id est, *Armeniæ*: de Symmacho autem Theodoretus: *ὁ δὲ Σύμμαχος τὸ Ἀρμανὰ Ἀρμενίαν ἡρμήνευσεν, Symmachus vocem* ARMANA *Armeniam* interpretatus est. Hieronymus in locum:——*et transferri in Armon, montes Armeniæ, qui Medis Persisque confines sunt.*

τινὰς προσλαβὼν τῶν ἐνθένδε ἑταίρων ἀφικόμην. Τὰ μὲν τοίνυν ὅμοια ποιῶν, ἔφη ὁ Κυαξάρης, οὐκ ἂν ὑποπτεύοιο· εἰ δὲ πολὺ πλείων ἡ δύναμις φαίνοιτο ἧς εἰώθεις ἔχων θηρᾶν, τοῦτο ἤδη ὕποπτον ἂν γίγνοιτο. Ἀλλ' ἔστιν, ἔφη ὁ Κῦρος, καὶ πρόφασιν κατασκευάσαι καὶ ἐνθάδε οὐκ ἀπίθανον· καὶ ἤν τις ἐκεῖσε ἐξαγγείλῃ ὡς ἐγὼ βουλοίμην μεγάλην θήραν ποιῆσαι, καὶ ἱππέας, ἔφη, αἰτοίην ἂν σε ἐκ τοῦ φανεροῦ. Κάλλιστ', ἔφη, λέγεις, ὁ Κυαξάρης· ἐγὼ δὲ σοι οὐκ ἐθελήσω διδόναι πλὴν μετρίους, ὡς βουλόμενος πρὸς τὰ φρούρια ἐλθεῖν τὰ πρὸς τῇ Ἀσσυρίᾳ. Καὶ γὰρ τῷ ὄντι, ἔφη, βούλομαι ἐλθὼν κατασκευάσαι αὐτὰ ὡς ἐχυρώτατα. Ὁπότε δὲ σὺ προεληλυθοίης σὺν ᾗ ἔχεις δυνάμει, καὶ δὴ δύο ἡμέρας, πέμψαιμι ἂν σοι ἱκανοὺς ἱππέας καὶ πεζοὺς τῶν παρ' ἐμοὶ ἡθροισμένων, οὓς σὺ λαβὼν, εὐθὺς ἀνίοις· καὶ αὐτὸς δὲ ἔχων τὴν ἄλλην δύναμιν πειρῴμην μὴ πρόσω ὑμῶν εἶναι, ἵνα, εἴπου καιρὸς εἴη, ἐπιφανείην.

Οὕτω δὴ ὁ μὲν Κυαξάρης εὐθέως πρὸς τὰ φρούρια ἤθροιζεν ἱππέας τε καὶ πεζοὺς, καὶ ἁμάξας δὲ σίτου προέπεμπε τὴν ἐπὶ τὰ φρούρια ὁδόν· Ὁ δὲ Κῦρος εὐθέως ἐθύετο ἐπὶ τῇ πορείᾳ, καὶ ἅμα [a] πέμπων ᾔτει τὸν Κυαξάρην τῶν νεωτέρων ἱππέων.

mero sociorum *nostrorum* adsumptis, *illuc* accessi. Ergò minimè suspectus fueris, ait Cyaxares, si his consimilia facias: sin autem majores copiæ conspiciantur, quàm quibus uti ad venandum consuevisti, id demùm suspicioni locum dederit. At licet, inquit Cyrus, causam quandam ad persuadendum haud parum aptam et hìc prætexere; et si quis famam istò deportét, velle me magnam venatiónem instituere, et *si* palam, ait, equites *ego* abs te petam. Optimè dicis, inquit Cyaxares: ego verò tibi non volam præter modicos quosdam dare, quasi qui ad castella Assyriæ finitima profecturus sim. Nam revera quidem, inquit, mihi in animo est *illò* proficisci, ut ea quàm munitissima reddam. Tu verò tuis cum copiis ubi progressus fueris, ac jam biduum venando consumpseris, mittam tibi quot suffecerint equites peditésque de iis qui apud me collecti sunt, quos ubi acceperis, statim pergas; ipse verò cum reliquis copiis, nè procul à vobis absim, enitar; ut, sicubi opportunum fuerit, conspiciendum me præbeam.

Hoc igitur modo Cyaxares quidem statim et equites et pedites ad castella cogebat, atque etiam currus cum commeatu eâ, quæ ad castella *duceret*, viâ præmittebat. Cyrus autem, profectionis causâ, confestim rem divinam faciebat, ac simul mittit qui à Cyaxare de equitibus *aliquos* pete-

[a] Πέμπων ᾔτει, &c.] Libri nonnulli exhibent——ἐπὶ τῶν νεωτέρων ἱππέων. In Aldinâ verò, Florent. et Sthephani editionibus non occurrit ista præpositio. Muretus eam ante τὸν Κυαξάρην ponendam putat: atque hunc sanè locum obtinet in MSto Bodleiano. Mihi autem præpositio ad tuendam loci integritatem minimè necessaria videtur: quippe qui ellipticam exhibeat loquendi rationem, ab Auctoribus subindè usurpatam. De usu verbi πέμπω, pro πέμπω πρέσβυν, πρέσβεις vel aliquo simili simpliciter positi, lis nulla moveri potest. Unum tantùm hujusmodi exemplum proferam, in quo ᾔτει, perindè atque in hoc loco, participium, à πέμπω formatum, statim subsequitur: ut πέμψας γὰρ ᾔτει παρ' αὐτῶν νεανίας χιλίους. Plutar. Amator.

Ὁ δὲ, πάνυ πολλῶν βουλομένων ἕπεσθαι, οὐ πολλοὺς ἔδωκεν αὐτῷ. Προεληλυθότος δ' ἤδη τοῦ Κυαξάρους σὺν δυνάμει ϗ πεζικῇ ϗ ἱππικῇ τὴν πρὸς τὰ φρούρια ὁδὸν, γίγνεται τῷ Κύρῳ τὰ ἱερὰ ἐπὶ τὸν Ἀρμένιον ἰέναι καλά· καὶ οὕτως ἐξάγει δὴ ὡς εἰς θήραν παρεσκευασμένος. Πορευομένῳ δὲ αὐτῷ εὐθὺς ἐν τῷ πρώτῳ χωρίῳ ὑπανίσαται λαγώς· ᵃ ἀετὸς δ' ἐπιπτάμενος αἴσιος ὡς κατεῖδε τὸν λαγὼ φεύγοντα, ἐπιφερόμενος ἔπαισέ τε αὐτὸν, καὶ συναρπάσας ἐξῆρε, καὶ ἀπενεγκὼν ἐπὶ λόφον τινὰ οὐ πόρσω, ἐχρῆτο τῇ ἄγρᾳ ὅ,τι ἤθελεν. Ἰδὼν οὖν ὁ Κῦρος τὸ σημεῖον, ἥσθη τε καὶ προσεκύνησε Δία βασιλέα, καὶ εἶπε πρὸς τοὺς παρόντας, Ἡ μὲν θήρα καλὴ ἔσαι, ὦ ἄνδρες, ἢν θεὸς θέλῃ. Ὡς δὲ πρὸς τοῖς ὁρίοις ἐγένοντο, εὐθὺς, ὥσπερ εἰώθει, ἐθήρα· καὶ τὸ μὲν πλῆθος τῶν πεζῶν καὶ τῶν ἱππέων ᵇ ὤγμευον αὐτῷ, ὡς ἐπιόντες τὰ

rent. Ille verò, licèt admodùm multi sequi vellent, non multos *tamen* ei concessit. Et Cyaxare jam cum copiis equitum peditumque viâ, quæ ad castella ducebat, progresso, Cyro sacra de suscipiendâ in Armenium expeditione auspicata fuerunt; itaque ergò *suos* educit, quasi se ad venandum parâsset. Et cùm jam iter faceret, mox primo in agro exsurgit lepus: et aquila dextra advolans, cùm leporem fugientem despexisset, inruens percussítque eum, correptumque sustulit, et cùm proximum in collem deportâsset, pro libidine prædâ usa est. Cyrus hoc quidem signo viso, delectatúsque est, et Jovem regem adoravit, et ad eos qui aderant dixit, Hæc sanè nobis, viri, venatio prospera, volente Deo, futura est. Cùm autem ad fines perventum esset, statim, more suo, venabatur: ac peditum quidem equitúmque vulgus ordine ante ipsum procedebant, ut adventu suo feras excitarent:

narrat. p. 772. T. 2. Porrò, τινὰς, ante τῶν νεωτέρων ἱππέων, per ellipsin deesse puto; adeo ut plenè in hunc modum diceretur,——ἥτει τὸν Κυαξάρην τινὰς τῶν νεωτέρων ἱππέων. Hanc loquendi formam jam paulò ante, et alibi sæpè, usurpavit Xenophon: ϗ ἱππέας δὲ ἤδη τινὰς προςλαβὼν τῶν ἐνθένδε ἑταίρων——et lib. 5. Cyro et Gobryâ inter se conloquentibus,————ἵνα σοὶ σῖτον τινὰ αἰτήσωμαι————Apud Auctores autem τὶς pati solet ellipsin:

Οὕτω μὲν κάλλιςος Ὕλλας μακάρων ἀριθμεῖται.

Theocrit. Idyl. ιγ'. v. 72. id est, τὶς vel εἷς μακάρων. Et hunc Hellenismum imitatum esse Horatium observant Interpretes:

Fies nobilium tu quoque fontium,
Me dicente, &c.
Od. 13. lib. 3.

Hæc duo loca ab Hor. Vitringa in *Animadv. ad Commentar. Joannis Vorstii de Hebraismis N. T.* adlata video. Hic enim, *Philolog. Sacrâ* p. 137. *in decimâ nonâ* Hebraismorum classe temerè reposuit locutionem istam:——ϗ ἐξ αὐτῶν ἀποκτενεῖτε, &c. Mat. xxiii. 34. similésque alias, Luc. xi. 49. et xxi. 16. Johan. vi. 39. Rev. ii. 10. quas tamen omnes τινὰς solummodò subauditum postulare, atque adeò benè Græcas esse, constat.

a Ἀετὸς δ', &c.] Aquilam sanè veteres præsagam prosperi successûs alitem existimabant. Exempla plura collegit Alex. ab Alex. *Dier. Genial.* lib. 5. Tom. 2. p. 131. Undè Seneca, *Natur. Quæst.* lib. 2 32. "Cur ergo, *inquit*, Aquilæ hic "honos datus est, ut magnarum rerum fa-"ceret auspicia?" Et ab Homero τελειότατος πετεηνῶν appellatur:

Αὐτίκα δ' αἰετὸν ἧκε, τελειότατον πετεηνῶν,
Νεβρὸν ἔχοντ' ὀνύχεσσι, &c. Il. θ' v. 247.

b Ὤγμευον αὐτῷ,] Hujus verbi locum spurium aliud, ὥρμησεν, in editis ferè omnibus insedit. Leunclavius tandem dedit ὤγμενον αὐτῷ, quam lectionem ex Libro Budensi Camerarium adferre ait. At Æmilius Portus pro ὤγμενον illo, nihili planè verbo, scribendum ὤγμευον vidit: quo facto in pristinam tandem integritatem restitutus videtur hic locus. Dicitur autem ὀγμεύω propriè de messoribus, qui longâ serie, ordine procedentes, in arvis segetibúsque metunt. Hoc disertissimis

θηρία ἐξανισταῖεν· οἱ δὲ ἄριστοι καὶ πεζοὶ καὶ ἱππεῖς διέστησαν, καὶ τὰ ἀνιστάμενα ὑπεδέχοντο καὶ ἐδίωκον, καὶ ᾕρουν πολλοὺς καὶ σῦς, καὶ ἐλάφους, καὶ δορκάδας, καὶ ὄνους ἀγρίους· πολλοὶ γὰρ ἐν τούτοις τοῖς τόποις ὄνοι καὶ νῦν ἔτι γίγνονται. Ἐπεὶ δ' ἔληξαν τῆς θήρας, προσμίξας πρὸς τὰ ὅρια τῶν Ἀρμενίων ἐδειπνοποιήσατο· καὶ τῇ ὑστεραίᾳ αὖθις ἐθήρα, προσελθὼν πρὸς τὰ ὄρη, ὧν ὠρέγετο. Ἐπεὶ δ' αὖ ἔληξεν, ἐδειπνοποιεῖτο. Τὸ δὲ παρὰ Κυαξάρους στράτευμα ὡς ᾔσθετο προσιὸν, ὑποπέμψας πρὸς αὐτοὺς, εἶπεν ἀπέχοντας αὐτοῦ δειπνοποιεῖσθαι ὡς δύο ᵃ παρασάγγας. τοῦτο προϊδὼν ὡς συμβαλεῖται πρὸς τὸ λανθάνειν· ἐπεὶ

præstantissimi verò quique tam peditum quàm equitum hinc indè constiterunt, excitatásque *feras* et exceperunt, et insecuti sunt, atque multos et apros, et cervos, et capreas, et asinos silvestres ceperunt; sunt enim hâc etiam tempestate illis in locis multi asini. At venatione tandem intermissâ, propiùs ad Armeniorum fines delatus, cœnam instrui jussit: ac postridiè rursùm venari cœpit, eos ad montes progressus, quos adpetebat. Postquam autem rursùs *venandi* finem fecisset, cœnavit. Cùm verò exercitum à Cyaxare *missum* adventare sentiret, ad eos clam misit qui edicerent, ut abs se ad duarum ferè parasangarum intervallum cœnarent; providebat enim futurum ut hoc *ipsum* ad fallendum *hostem* conducèret: postquam

verbis, hunc ipsum locum respiciens, testatur Suidas: Ὤγμευον, inquit, Ξενοφον ἐν Β. ἀντὶ τοῦ, ἐπορεύοντο, παρὰ τὸν ὄγμον, τὸν σημαίνοντα τὴν κατὰ τάξιν ὁδὸν τῶν θεριζόντων Et Hesychius, Ὄγμος, ἡ ἐφεξῆς φυτεία· μεταφορικῶς δὲ, καὶ ὅταν πορεύονται ἐφ' ἕνα τεταγμένοι κατὰ στίχον, ὄγμον λέγουσι. ὁ δὲ τῶν θεριζόντων στίχος, ὀγμεύειν λέγονται. Ità Phavorinus et Etymol. M. Eustathius verò, Ὄγμος, ὁ ἀροτριαθεὶς τόπος, καὶ ἀνοιγεὶς ἑλκυσμῷ ἀρότρου, &c. ad. Il. λ'. p. 831. et σ'. p. 1161. Et Schol. in Theocr. Idyl. ι'. v. 2. Ὄγμος, ἡ ἐπ' εὐθὺ τοῦ ἀρότρου τομή. Sed et ipsum verbum ὀγμεύω eodem, quo Noster, sensu adhibuit Sophocles, Philoct. v. 164,—5.

Νεο. Δῆλον ἔμοιγ', ὡς φορβῆς χρείᾳ.
Στίβον ὀγμεύει τόνδε, πέλας πυ.

Ubi Schol. Ὄγμος, ἡ ἐπὶ στίχον φυτεία, καὶ ἡ τάξις. Νῦν δὲ, ἀντὶ τοῦ, ἐφεξῆς πορεύεται. Agit hìc Sophocles quoque de venatione *Philoctetis*; quod ex iis liquet versibus, quos prioribus illis subjicit Tragicus:

Ταύτην γὰρ ἔχειν βιοτῆς αὐτὸν
Λόγος ἐστὶ φύσιν, θηροβολοῦντα
Πτηνοῖς ἰοῖς, &c.

Prolixæ huic commentationi, quam Porto in primis acceptam referimus, adjiciendus tandem est J. Pollucis locus, T. 1. p. 518. in quo de cervis capiendis agit; Ἁλίσκονται δὲ δικτύοις μὲν, εἴ τις ὀγμεύσας αὐτὰς συγκλείσειε. Ubi Jungermannus, ad ὀγμεύσας, statuit illud esse verbum Xenophontéum, atque eâ adeò gratiâ hunc ipsum Nostri locum adducit,————καὶ τῶν ἱππέων ὤγμευον αὐτῷ, ὡς, &c. Denique, ὥρμησεν illud, quod hactenùs obtinuit, in oris primò codicum vetustorum librarios quosdam adnotâsse puto, ut alterum illud, ὤγμευον, utpote difficilius, explicarent: quo factum, ut eliminata priscâ lectione, cujus significatio fugerat imperitos, in ejus locum glossema tandem subivit.

a Παρασάγγας] Notissimum ferè est vocabulum hoc, apud Persas, mensuram viæ significare. Herodot. lib. 2. c. 6. Δύναται δὲ ὁ μὲν παρασάγγης τριήκοντα στάδια. Nec aliter, lib. 5. c. 53. Strabo lib. 11. T. 2. p. 788. Τὸν δὲ παρασάγγην τὸν Περσικὸν, οἱ μὲν ἑξήκοντα σταδίων φασὶν, οἱ δὲ, τριάκοντα ἢ τετταράκοντα. Auctor Etymologici: Παρασάγγαι, τριάκοντα στάδια παρὰ Πέρσαις, παρ' Αἰγυπτίοις δ' ἑξήκοντα. His adjciendus est insignis quidam Agathiæ locus, Histor. lib. 2. p. 59. edit. Bon. Vulcanii. Ἔστι γὰρ ὁ παρασάγγης, ὡς μὲν Ἡροδότῳ δοκεῖ καὶ Ξενοφῶντι, τριάκοντα στάδια, ὡς δὲ νῦν Ἴβηρες καὶ Πέρσαι φασὶν, ἐν ἑνὶ μόνῳ τῶν εἴκοσι πλείονα. Hodie, auctore Relando, Parasanga apud Persas continet tria milliaria, unumquodque milliare ter mille cubitos, quilibet cubitus triginta digitos, quilibet digitus latitudinem sex granorum hordei.

δὲ δειπνήσειεν, ᵃ εἶπε τῷ ἄρχοντι αὐτῶν παρεῖναι πρὸς αὐτόν. Μετὰ τὸ δεῖπνον δὲ τοὺς ταξιάρχους ἐκάλει· ἐπεὶ δὲ παρῆσαν, ἔλεξεν ὧδε·

"Ἄνδρες φίλοι, ὁ Ἀρμένιος πρόσθεν μὲν καὶ σύμμαχος "ἦν καὶ ὑπήκοος Κυαξάρει· νῦν δ', ὡς ᾔσθετο τοὺς πολεμίους "ἐπιόντας, καταφρονεῖ, καὶ οὔτε στράτευμα πέμπει ἡμῖν, οὔτε "τὸν δασμὸν ἀποδίδωσι· νῦν οὖν τοῦτον δεῖ θηρᾶσαι, ἢν δυν"ώμεθα. Ὧδέ μοι οὖν δοκεῖ, ἔφη, ποιεῖν· Σὺ μὲν, ὦ Χρυσάντα, "ἐπειδὰν ἀποκοιμηθῇς ὅσον μέτριον, ᵇ λαβὼν τοὺς ἡμίσεις "Περσῶν τῶν σὺν ἡμῖν, ἴθι τὴν ὀρεινὴν καὶ κατάλαβε τὰ ὄρη, "εἰς ἅ φασιν αὐτὸν, ὅταν τινὰ φοβηθῇ, καταφεύγειν. Ἡγε"μόνας δέ σοι ἐγὼ δώσω. Φασὶ μὲν οὖν καὶ δασέα ταῦτα τὰ "ὄρη εἶναι, ὥστ' ἐλπὶς ὑμᾶς μὴ ὀφθῆναι· ὅμως δὲ εἰ προπέμ"ποις πρὸ τοῦ στρατεύματος εὐζώνους ἄνδρας, λῃσταῖς ἐοικότας "καὶ τὸ πλῆθος καὶ τὰς στολὰς, οὗτοι ἄν σοι, εἴ τισιν ἐντυγ"χάνοιεν τῶν Ἀρμενίων, οὓς μὲν ἂν συλλαμβάνοντες αὐτῶν "κωλύοιεν τῶν ἐξαγγελιῶν, οὓς δὲ μὴ δύναιντο λαμβάνειν, "ἀποσοβοῦντες ἂν ἐμποδὼν γίγνοιντο τοῦ μὴ ὁρᾷν αὐτοὺς τὸ

verò cœnâssent, ut ipsorum præfectus ad se veniret, præcepit. Cœnâ autem peractâ, præfectos *ad se* vocabat; qui cùm advenissent, in hunc modum loquutus est:

"Armenius antehàc quidem, amici, Cyaxari et societate junctus fuit et "*ejus* imperio subjectus: nunc verò spreto, postquam hostes *eum* invadere "senserit, *Cyaxare*, neque copias nobis mittit, neque tributum illud *debi*"*tum* persolvit: itaque jam *nobis* venandus est, si *quidem* potérimus. Ac "mihi sanè res in hunc modum gerenda videtur: Tu, Chrysanta, postquam "modicum somnum ceperis, dimidiâ Persarum qui sunt nobiscum sumptâ "parte, *viam* montanam ingreditor, et montes occupato, ad quos eum, cùm "aliquem metuit, confugere aiunt. Duces ipse tibi dabo. Atque hos sanè "montes etiam nemorosos esse perhibent, ut spes sit vos minimè conspec"tum iri: si tamen ante exercitum expeditos homines, qui et numero et "vestimentis sint latronibus similes, præmiseris, *nimirum* hi, si quibus ex "Armeniis occurrerint, eos partim comprehendendo impedire poterunt, nè "quod indicium faciant; partim quos comprehendere nequiverint, abster"ritos procul arcendo, nè totum exercitum videant, obstabunt; ideóque *de*

a Εἶπε] Camero in *Myroth. Evang.* ad Matt. iv. 3.——εἰπὲ ἵνα οἱ λίθοι &c. putat Hebraïcâ phrasi, εἰπεῖν poni pro *jubere, præcipere.* Gatakerus etiam, *de Stylo N. Inst.* cap. 28. censet ab Hebræis potiùs, quàm à Græcis, verbum hoc in *jubendi* sive *imperandi* significatu adhibitum, sumpsisse Evangelistas; à quibus sæpissimè ità usurpatum est. Marc. v. 43. Luc. xix. 15, &c. At satis constat causam non fuisse, cur ità statuerent. Nam sæpè alibi, non hoc tantùm loco, apud Nostrum, aliósque purissimos scriptores Græcos, verbum illud *jubendi* seu *præcipiendi* vim obtinet.

b Λαβὼν] Vulgò λάβε. Stephanus scribit λαβὼν, alioqui, inquit, ante ἴθι opus esset particulâ καί. Atque hanc emendationem comprobat MS. Bodl. nec non Muretus ad locum.

“ ὅλον στράτευμα, ἀλλ' ὡς περὶ κλοπῶν βουλεύεσθαι. Καὶ σὺ
“ μὲν, ἔφη, οὕτω ποίει· ἐγὼ δὲ ἅμα τῇ ἡμέρᾳ τοὺς ἡμίσεις μὲν
“ τῶν πεζῶν ἔχων, ἅπαντας δὲ τοὺς ἱππέας, πορεύσομαι διὰ τοῦ
“ πεδίου εὐθὺς πρὸς τὰ βασίλεια. Καὶ ἢν μὲν ἀνθίστηται,
“ δῆλον ὅτι μάχεσθαι δεήσει· ἢν δ' ἂν ὑποχωρῇ τοῦ πεδίου,
“ δῆλον ὅτι [a] μεταθεῖν δεήσει· ἢν δ' εἰς τὰ ὄρη φεύγῃ, ἐνταῦθα
“ δὴ, ἔφη, σὸν ἔργον μηδένα ἀφιέναι τῶν πρός σε ἀφικνουμένων.
“ Νόμιζε δ' ὥσπερ ἐν θήρᾳ ἡμᾶς μὲν τοὺς ἐπιζητοῦντας ἔσεσθαι,
“ [b] σὲ δὲ τὸν ἐπὶ ταῖς ἄρκυσι. Μέμνησο οὖν ἐκεῖνο, ὅτι φθάνειν
“ δεῖ πεφραγμένους τοὺς πόρους πρὶν κινεῖσθαι [c] τὰ θηρία. Καὶ
“ λεληθέναι δὲ δεῖ τοὺς ἐπὶ τούτοις τεταγμένους, εἰ μέλλουσι
“ μὴ ἀποστρέφειν τὰ προσφερόμενα. Μὴ μέντοι, ἔφη, ὦ Χρυ-
“ σάντα, οὕτως αὖ ποίει, ὥσπερ ἐνίοτε διὰ τὴν φιλοθηρίαν· πολ-
“ λάκις γὰρ ὅλην τὴν νύκτα ἄυπνος πραγματεύῃ· ἀλλὰ νῦν
“ ἐᾶσαι χρὴ τοὺς ἄνδρας τὸ μέτριον ἀποκοιμηθῆναι, ὡς ἂν δύ-
“ νωνται [d] ὑπνομαχεῖν. Μηδέ γε σὺ, ὅτι οὐχ ἡγεμόνας ἔχων

“ *vobis* tanquam latrunculis consilium capient. Ac tu quidem ità facito :
“ ego verò cum primâ luce peditum *alterâ* cum parte dimidiâ, et universis
“ cum equitibus campestri itinere ad regiam rectâ proficiscar. Et si qui-
“ dem *se nobis* opposuerit, patet, pugnam necessariò conserendam esse :
“ sin campo se subduxerit, cursu *nobis* persequendum esse constat : ad
“ montes si *denique* fugerit, hìc scilicet, tui fuerit muneris eorum, qui ad
“ te pervenient, neminem dimittere. Perindè scilicet atque in venatione
“ *velim* existimes, nos quidem eos fore qui indagabunt, te autem illum qui
“ sit ad plagas. Quamobrem memineris, obstruenda prius esse itinera,
“ quàm feræ se loco moveant. Quin et occulti sint necesse est, quicunque
“ ad ea collocati fuerint, si *quidem ad se* adcurrentes *feras* nolint avertere.
“ Verùm, Chrysanta, inquit, ità jam nè feceris, quemadmodùm nonnun-
“ quam venandi studio *consuevisti :* nam insomnis totam sæpè noctem in
“ hoc negotio exigis : at nunc militi modicè cubandi facultas est conceden-
“ da, ut somno *obrepenti* reluctari possint. Neque verò tu, quia montes

a Μεταθεῖν δεήσει] Locutio metaphorica, à re venaticâ desumpta. Pauld suprà de *venando* Armenio, hìc de eodem *insequendo* loquitur. Frequentissimi usûs est hoc verbum apud Scriptores *Cyneget.* Nostrum in primis, et Arrianum : idque adeò inter ea, quæ rei venaticæ sunt propria, recenset J. Pollux lib. v. cap. 1.

b Σὲ δὲ τὸν] Sic legendum videtur, non, ut vulgò, σὲ δὲ τῶν ἐπὶ, &c. nisi quis ellipticam locutionem esse statuerit, per τινὰ supplendam. Eam quam recipimus lectionem, in loci interpretatione, secutus est Leunclavius, et representat etiam MS. Bodl. Noster autem per τὸν ἐπὶ ταῖς ἄρκυσι vult eum, quem in Κυνηγετ' ἀρκύωρον appellat.

c Τὰ θηρία] In vulgatis legitur, τὴν θήραν. Quod Editorum Interpretumque neminem probâsse video. Hi verò cùm lectionem aliam τὸν θῆρα, in margine invenerint, ad eam versiones quique suas conformârunt. Mihi quidem neque hæc neque illa placet lectio ; ideóque aliam ex conjecturâ resposui, cui et res ipsa, et sequentia statim ista,———μὴ ἀποστρέφειν τὰ προσφερόμενα, et,———ὅπη ἂν τὰ θηρία ὑφηγῆται, omninò favere videantur.

d Ὑπνομαχεῖν] Rejiciendum hoc verbum, et in ejus locum ὕπνου τυχεῖν vel ὑπνολαχεῖν substituendum quidam autumârunt. MS. item Bodl. (nè quid dissimulem) repræsentat, ὕπνου τυχεῖν, receptâ lectione, ὑπνομαχεῖν in margine laudatâ. Editi ferè

" ἀνθρώπους πλανᾷ ἀνὰ τὰ ὄρη, ἀλλ' ὅπη ἂν τὰ θηρία ὑφηγῆ- " ται, ταύτῃ μεταθεῖς, μήτοι καὶ νῦν οὕτω τὰ δύσβατα πορεύου, " ἀλλὰ κέλευε σὺ τοὺς ἡγεμόνας, ἐὰν μὴ πάνυ πολὺ ἐλάσ- " σων ἡ ὁδὸς ᾖ, τὴν ῥάστην ἡγεῖσθαι. Στρατιᾷ γὰρ ἡ ῥάστη τα- "χίστη. Μηδέ γε, ὅτι σὺ εἴθισαι τρέχειν ἀνὰ τὰ ὄρη, μήτοι " δρόμῳ ἡγήσῃ, ἀλλ' ὡς ἂν δύνηταί σοι ὁ στρατὸς ἕπεσθαι, τῷ " μέσῳ τῆς σπουδῆς ἡγοῦ. Ἀγαθὸν δὲ καὶ τῶν δυνατωτάτων " καὶ προθύμων ὑπομένοντας τινὰς ἐνίοτε παρακελεύεσθαι· " ἐπειδὰν δὲ παρέλθῃ τὸ κέρας, παροξυντικὸν εἰς τὸ σπεύδειν, " πάντας παρὰ τοὺς βαδίζοντας τρέχοντας ὁρᾶσθαι."

Χρυσάντας μὲν δὴ ταῦτα ἀκούσας, καὶ ἐπιγαυρωθεὶς τῇ ἐντολῇ Κύρου, λαβὼν τοὺς ἡγεμόνας, ἀπελθὼν, καὶ παραγγείλας ἃ ἔδει τοῖς σὺν αὐτῷ μέλλουσι πορεύεσθαι, ἀνεπαύετο. Ἐπεὶ δὲ ἀπεκοιμήθησαν ὅσον ἐδόκει μέτριον εἶναι, ἐπορεύετο ἐπὶ τὰ ὄρη. Κῦρος δὲ, ἐπεὶ ἡμέρα ἐγένετο, ἄγγελον προέπεμπε πρὸς τὸν Ἀρμένιον, προειπὼν αὐτῷ λέγειν ὧδε· Κῦρος, ὦ Ἀρμένιε, κελεύει οὕτω ποιεῖν σε, ὅπως ὡς τάχιστα [a] ἔχων ἀπίῃς καὶ

" pererras ducem *viæ* nullum habens, sed quácunque feræ præcesserint, " hâc insequi soles, neque *tu, inquam,* nunc etiam per loca penetratu difficilia sic iter feceris ; sed impera ducibus, ut, nisi aliqua longè brevissima " via fuerit, per facillimam ducant. Nam exercitui via facillima celerrima " est. Néve *item,* quia tu montes cursu pervagari es adsuefactus, *jam* " *quoque* curriculo præiveris, sed festinatione mediocri præito, ut sequi te " possit exercitus. Commodum etiam fuerit, quosdam ex robustissimis et " *in primis* alacribus interdum cohortandi causâ subsistere : ubi autem cor- " nu processerit, incitamentum erit ad festinandum, si præ *his* gradatim " incedentibus, omnes *illi* currere videantur."

Ac Chrysantas quidem hæc cùm audîsset, ad elationem incenso Cyri mandatis animo, acceptis ducibus, abiit ; et cum iis, qui profecturi cum ipso erant, facienda imperâsset, quieti se dedit. Cùmque tantum somni cepissent, quantum ad mediocritatem satìs esse videbatur, ad montes perrexit. Cyrus autem, cùm dies illuxisset, nuntium ad Armenium præmisit, cui priùs indicârat, ut in hunc modum *hominem* adloqueretur : Cyrus, Armenie, sic agas imperat, ut quamprimùm *ad ipsum* cum tributo exercitú-

omnes dant ὑπνομαχεῖν. Sed, Leunclavius, parum sibi constans, versionem suam lectioni margins, ὕπνυ τυχεῖν, accommodavit : vertit enim, *nè somni sint expertes.* Vulgatæ verò lectioni sua non deest auctoritas. Phavorinus, ad ὑπνομαχεῖν, Auctores adducit Xenophontem et Synesium : his additis, σὺ δὲ ἀνθίστασθαι ἢ ἀντιπράττειν τῷ ὕπνῳ λεγε· ἢ ὕπνυ κρατεῖν. Suidas eosdem citat Auctores, et Synesii etiam verba profert : ἐγὼ δὲ ὑπὸ μεσοπυργίῳ τεταγμένυς, ὑπνομαχῶ. Extant autem epist. 130. p. 464. edit. Morel. Nec aliter Thomas Magister, Ὑπνομαχεῖν, Ξενοφῶν καὶ Συνέσιος ἐν ἐπιστολῇ· ὑπὸ μεσοπύργιον τεταγμένως ὑπνομαχῶ (lege ὑπὸ μεσοπυργίῳ τεταγμένος, &c.) σὺ δὲ ἀνθίστασθαι ἢ ἀντιπράττειν τῷ ὕπνῳ λέγε· ἢ ὕπνυ κρατεῖν.

a Ἔχων ἀπίῃς] Legitur etiam, notante Leunclavio, in libro Budensi, ἔχων οἴσῃς τὸν δασμόν. Nempe paulò infra hæc locutio occurrit,——συνωμολόγησας δασμὸν οἴσειν. Hinc, opinor, illa Budensis Libri lectio. Vulgata autem satìs sana, et minimè loco movenda videtur.

τὸν δασμὸν καὶ τὸ ϛράτευμα. Ἢν δ᾽ ἐρωτᾷ ὅπου εἰμὶ, λέγε τἀληθῆ, ὅτι ἐπὶ τοῖς ὁρίοις. Ἢν δ᾽ ἐρωτᾷ εἰ καὶ αὐτὸς ἔρχομαι, λέγε κἀνταῦθα τἀληθῆ, ὅτι ȣ̓κ οἶσθα. Ἢν δὲ ὁπόσοι ἐσμὲν πυνθάνηται, συμπέμπειν τινὰ κέλευε καὶ μαθεῖν. Τὸν μὲν δὴ ἄγγελον, ἐπιϛείλας ταῦτα, ἔπεμψε· νομίζων φιλικώτερον εἶναι οὕτως, ἢ μὴ προειπόντα πορεύεσθαι. Αὐτὸς δὲ συνταξάμενος ᾗ ἄριϛον καὶ πρὸς τὸ ἀνύειν τὴν ὁδὸν, καὶ πρὸς τὸ μάχεσθαι, εἴ τι δέοι, ἐπορεύετο. Προεῖπε δὲ τοῖς ϛρατιώταις μηδένα ἀδικεῖν· καὶ εἴ τις Ἀρμενίων τῳ ἐντυγχάνοι, θαῤῥεῖν τε παραγγέλλειν, [a] καὶ ἀγορὰν τὸν βȣλόμενον ἄγειν, ὅπȣ ἂν ὦσιν, εἴ τις σιτία ἢ ποτὰ τυγχάνοι πωλεῖν βȣλόμενος.

que venias. Quòd *si te* interroget, ubi sim, vera dicito, *esse me nimirum* in finibus. Sin roget, an et ipse veniam, hìc quoque vera dicito, te *nempe* nescire. Sin quot numero simus quærat, jube tecum aliquem mittat, ac *rem* cognoscat. Itaque nuntium Cyrus cum his mandatis misit; quòd existimaret hoc modo *se* humaniùs *facturum*, quàm si nihil prædicens pergeret. Ipse verò quàm optimè cùm ad perficiendum iter, tum etiam ad pugnandum, si foret opus, instructis suis progrediebatur. Militibus autem edixit nè quenquam injuriâ adficerent: ac si quis Armenium aliquem obvium haberet, et bono esse animo juberet, et ut is qui vellet, ad ea loca, quibus *ipsi* essent, res venales adveheret, si quis esculenta aut potulenta vendere cuperet.

a Καὶ ἀγορὰν, &c.] Est nimirum boni Imperatoris omni cogitatione curâque in commeatum undique advehendum incumbere. Inter cætera adeò imperatoria officia hoc meritò recenset Onosander, extremo cap. 6. p. 15. *Φροντιζέτω δὲ περὶ τε ἀγορᾶς, ϗ τῆς τῶν ἐμπόρων, ϗ κατὰ γῆν, ϗ κατα θάλατταν, παραπομπῆς. Ἵνα ἀκιδύνȣ τῆς παρȣσίας σφίσιν οὕτως ἀόκνως παρακομίζȣσι τὸν εις τὰ ἐπιτήδεια φόρτον.* Lege, *σφίσιν οὔσης, ἀόκνως παρακομίζωσι τὸν*, &c. Et rei tam necessariæ incuriam J. Cæsari vitio vertit Alexander M. referente Juliano, p. 323. ed. Ezech. Spanh. *Καὶ γὰρ ἐν ἐνδείᾳ γέγονας τῶν ἐπιτηδειῶν, (ἐϛὶ δὲ ȣ̓ μικρὸν, ὡς οἶδα, τȣ̃το ἁμάρτημα ϛρατηγȣ̃) ϗ μάχῃ συμβαλὼν ἡττήθης.*

ΞΕΝΟΦΟΝΤΟΣ

ΚΥΡΟΥ ΠΑΙΔΕΙΑΣ Γ.

Ὁ Μὲν δὴ Κῦρος ἐν τούτοις ἦν· [a] ὁ δὲ Ἀρμένιος, ὡς ἤκουσε τοῦ ἀγγέλου τὰ παρὰ τοῦ Κύρου, ἐξεπλάγη, ἐννοήσας ὅτι ἀδικοίη καὶ τὸν δασμὸν λείπων, καὶ τὸ στράτευμα οὐ πέμπων. Καὶ τὸ μέγιστον ἐφοβεῖτο, ὅτι ὀφθήσεσθαι ἔμελλε τὰ βασίλεια οἰκοδομεῖν ἀρχόμενος, ὡς ἂν ἱκανὰ ἀπομάχεσθαι εἴη. Διὰ πάντα δὴ ταῦτα ὀκνῶν, ἅμα μὲν διέπεμπεν ἀθροίζων τὴν αὑτοῦ δύναμιν, ἅμα δ' ἔπεμπεν εἰς τὰ ὄρη τὸν νεώτερον υἱὸν Σάβαριν, καὶ τὰς γυναῖκας, τήν τε ἑαυτοῦ καὶ τὴν τοῦ υἱοῦ, καὶ τὰς θυγατέρας· καὶ κόσμον δὲ καὶ κατασκευὴν τὴν πλείστου ἀξίαν συναπέπεμπε, προπομποὺς δοὺς αὐτοῖς.. Αὐτὸς δὲ ἅμα μὲν κατασκεψομένους ἔπεμπε τί πράττοι Κῦρος, ἅμα δὲ συνέταττε τοὺς παραγινομένους τῶν Ἀρμενίων· καὶ ταχὺ παρῆσαν ἄλλοι, λέγοντες ὅτι καὶ

ET Cyrus quidem hæc agebat: Armenius autem, cùm de nuntio mandata Cyri audîsset, perterritus est; quòd cum animo *suo* cogitaret se injustè facere, qui et tributum pendere desineret, et non mitteret exercitum. Maximè verò metuebat, quòd futurum erat ut manifestum fieret, se fecisse initium struendæ regiæ, quò ad propulsandos hostes illa sufficeret. Has sane ob causas omnes trepidans, simul nonnullis in diversas partes dimissis copias suas cogebat, simul in montes minorem natu filium Sabarim, et suam atque filii uxorem, et filias mittebat; et cum his ornatum quoque apparatúmque maximi pretii mittebat, additis etiam qui deducerent. Ipse autem simul mittebat, qui specularentur quidnam *rerum* Cyrus ageret, simul Armenios, qui aderant, instruebat: cùm mox adessent alii, qui Cyrum ipsum

a Ὁ δὲ Ἀρμένιος, &c.] Zonaras, Scriptor ætate suâ clarus, ea omnia, quæ de Cyro hìc Armenióque sunt memorata, iisdem penè verbis, quibus Noster usus est, exposuit: Ὡς δ' ἤκουσε ταῦτα ὁ Ἀρμένιος ἐξεπλάγη· καὶ ἔπεμπε μὲν ἀθροίζων τὴν ἑαυτοῦ στρατιὰν, ἔπεμπε δὲ καὶ τὰς γυναῖκας, τόν τε νεώτερον υἱὸν, καὶ τὰ, &c. Annal. T. 1. lib. 3. p. 149. et seq. edit. Paris.

δὲ ταῦτα τὰ ὄρη ἔρημά ἐστιν; Οὐ μὰ Δί', ἔφη, ἀλλ' ἀεὶ σκοποί εἰσιν ἐκείνων, οἳ σημαίνουσι τοῖς ἄλλοις ὅ,τι ἂν ὁρῶσι. Τί οὖν, ἔφη, ποιοῦσιν, ἐπὰν αἴσθονται; Βοηθοῦσιν, ἔφη, ἐπὶ τὰ ἄκρα, ὡς ἂν ἕκαστος δύνηται. Ταῦτα μὲν δὴ ὁ Κῦρος ἠκηκόει· σκοπῶν δὲ κατενόει πολλὴν τῆς χώρας τοῖς Ἀρμενίοις ἔρημον καὶ ἀργὸν οὖσαν διὰ τὸν πόλεμον. Καὶ τότε μὲν ἀπῆλθον ἐπὶ τὸ στρατόπεδον, καὶ δειπνήσαντες ἐκοιμήθησαν. Τῇ δ' ὑστεραίᾳ αὐτός τε ὁ Τιγράνης παρῆν συνεσκευασμένος· καὶ εἰς τετρακισχιλίους ἱππεῖς συνελέγοντο αὐτῷ, καὶ τοξόται εἰς τοὺς μυρίους, καὶ πελτασταὶ ἄλλοι τοσοῦτοι. Ὁ δὲ Κῦρος, ἐν ᾧ συνελέγοντο, ἐθύετο· ἐπεὶ δὲ καλὰ ἦν τὰ ἱερὰ αὐτῷ, συνεκάλεσε τούς τε τῶν Περσῶν ἡγεμόνας, καὶ τοὺς τῶν Μήδων. Ἐπεὶ δὲ ὁμοῦ ἦσαν, ἔλεξε τοιάδε·

" Ἄνδρες φίλοι, ἔστι μὲν τὰ ὄρη ταῦτα, ἃ ὁρῶμεν, Χαλδαίων· " εἰ δὲ ταῦτα καταλάβοιμεν, καὶ ἐπ' ἄκρου γένοιτο τὸ ἡμέτερον " φρούριον, σωφρονεῖν ἀνάγκη ἂν εἴη πρὸς ἡμᾶς καὶ ἀμφοτέροις, " τοῖς τε Ἀρμενίοις καὶ τοῖς Χαλδαίοις. Τὰ μὲν οὖν ἱερὰ καλὰ " ἡμῖν· ἀνθρωπίνῃ δὲ προθυμίᾳ εἰς τὸ πραχθῆναι ταῦτα οὐδὲν " οὕτω μέγα σύμμαχον ἂν γένοιτο ὡς τάχος. Ἢν γὰρ φθάσω" μεν πρὶν τοὺς πολεμίους συλλεγῆναι ἀναβάντες, ἢ παντάπα" σιν ἀμαχεὶ λάβοιμεν ἂν τὸ ἄκρον, ἢ ὀλίγοις τε καὶ ἀσθενέσι " χρησαίμεθα ἂν πολεμίοις. Τῶν οὖν πόνων οὐδεὶς ῥᾴων, οὐδὲ " ἀκινδυνώτερος, ἔφη, ἐστὶ τοῦ νῦν καρτερῆσαι σπεύδοντας. Ἴτε

verò, inquit, sed eorum speculatores *ibi* semper adsunt, qui cæteris significant quidquid viderint. Quid ergò faciunt, inquit, cùm *aliquid* senserint? Ad juga, inquit, defensionis causâ, pro suis quisque viribus, adcurrunt. Et hæc quidem Cyrus ubi audîsset, lustrando *omnia* animadvertebat magnam regionis partem Armeniis propter bellum desertam et incultam esse. Et tum quidem ad exercitum reverterunt, et cùm cœnâssent quieti se dederunt. Postridiè Tigranes ipse paratis rebus suis aderat; atque equitum ei quatuor millia cogebantur, cum decies mille sagittariis, totidémque peltastis. Cyrus autem, dum *eæ copiæ* cogerentur, hostias mactabat: cumque sacra ei secunda evenissent, tum Persarum, tum Medorum convocavit, duces. Et cùm unà *omnes* adessent, hujusmodi verbu facit:

" Hi montes, amici, quos adspicimus, Chaldæorum sunt; eos autem si " occupaverimus, et castellum in vertice nostrum fuerit, necesse erit utrique, " tam Armenii quàm Chaldæi, erga nos modestè, *ut officii ratio postulat*, " se gerant. Et sacra quidem nobis *evenere* læta; humanæ verò ad hæc " perficienda alacritati nihil æquè magno adjumento fuerit, atque celeritas. " Nam si montes prius, quàm hostes se colligant, uscenderimus, vel omninò " verticem sine *ullo* prælio capiemus, vel cum paucis invalidísque hostibus " res nobis erit. Nullus ergò labor facilior, inquit, magísve fuerit periculi " expers, quàm si nunc in accelerando tolerantes erimus. Ite igitur ad

"ὧν ἐπὶ τὰ ὅπλα. Καὶ ὑμεῖς μὲν, ὦ Μῆδοι, ἐν ἀριστερᾷ ἡμῶν "πορεύεσθε· ὑμεῖς δὲ, ὦ Ἀρμένιοι, οἱ μὲν ἡμίσεις ἐν δεξιᾷ, οἱ "δὲ ἡμίσεις ἔμπροσθεν ἡμῶν ἡγεῖσθε· ὑμεῖς δὲ, ὦ ἱππεῖς, ὄπισθεν ἕπεσθε, διακελευόμενοι καὶ ὠθοῦντες ἄνω ἡμᾶς· ἢν δέ τις "μαλακύνηται, μὴ ἐπιτρέπετε." Ταῦτ' εἰπὼν ὁ Κῦρος, ἡγεῖτο, [a] ὀρθίους ποιησάμενος τοὺς λόχους. Οἱ δὲ Χαλδαῖοι, ὡς ἔγνωσαν τὴν ὁρμὴν ἄνω οὖσαν, εὐθὺς ἐσήμαινόν τε τοῖς ἑαυτῶν, καὶ συνεβόων ἀλλήλοις, καὶ συνηθροίζοντο. Ὁ δὲ Κῦρος παρηγγύα, Ἄνδρες Πέρσαι, ἡμῖν σημαίνουσι σπεύδειν. Ἢν γὰρ φθάσωμεν ἄνω γενόμενοι, οὐδὲν τὰ τῶν πολεμίων δυνήσεται.

Εἶχον δὲ οἱ Χαλδαῖοι γέῤῥα τε καὶ παλτὰ δύο· καὶ πολεμικώτατοι δὲ λέγονται οὗτοι τῶν περὶ ἐκείνην τὴν χώραν εἶναι· καὶ μισθοῦ στρατεύονται ὁπόταν τὶς αὐτῶν δέηται, διὰ τὸ πολεμικώτατοι καὶ πένητες εἶναι· καὶ γὰρ ἡ χώρα αὐτοῖς ὀρεινή τέ ἐστι καὶ ὀλίγη ἡ τὰ χρήματα ἔχουσα. Ὡς δὲ μᾶλλον ἐπλησίαζον οἱ ἀμφὶ τὸν Κῦρον τῶν ἄκρων, ὁ Τιγράνης σὺν τῷ Κύρῳ πορευόμενος εἶπεν, Ὦ Κῦρε, ἆρ' οἶσθ', ἔφη, ὅτι αὐτοὺς ἡμᾶς αὐτίκα μάλα δεήσει μάχεσθαι; ὡς οἵ γε Ἀρμένιοι οὐ μὴ δέξωνται τοὺς πολεμίους. Καὶ ὁ Κῦρος [b] εἰπὼν ὅτι εἰδείη τοῦτο, παρηγ-

"arma. Et vos quidem, Medi, à sinistrâ incedite; vos autem, Armenii, "cum parte dimidiâ dextram *tenete* cum *alterâ* parte dimidiâ duces nobis "itineris estote; vos equites, à tergo sequimini, ut nos cohortemini sursumque protrudatis: quòd si quis remissiorem se præbeat, *hoc ut se modo* "*gerat* nè permittite." Hæc cùm Cyrus dixisset, præibat, exercitu ità instructo ut manipuli recti fierent. Chaldæi verò, postquam sursum tendi cum impetu animadverterunt, et suis statim signa dant, et mutuis clamoribus se convocando colliguntur. Cyrus autem *suos ità* cohortabatur: *Hi*, Persæ, nobis signum dant ut properemus. Nam si priores illuc adscenderimus, nihil hostium conatus efficere poterunt.

Gestabant autem Chaldæi scuta et palta duo; iidemque bellicosissimi feruntur esse inter ejus regionis incolas: mercede etiam militant, cùm ipsorum operâ quis eget, propterea quòd et bellicosissimi sint et pauperes: quippe regio eis montuosa, et cujus exigua pars opulenta est. Cùm autem Cyri milites propriùs ad juga montium accederent, Tigranes, qui unà cum Cyro ibat, An nôsti, Cyre, ait, mox pugnandum nobis ipsis esse? nam Armenii quidem certè hostes *irruentes* sustinere non poterunt. Et Cyrus

a Ὀρθίους, &c] De agmine recto audiendus est Ælianus: Καθόλου δὲ παράμηκες λέγεται πρᾶγμα (lege τάγμα, Arcerio licèt illa magis arrideat lectio) ὃ ἂν τὸ μῆκος ἔχει πλεῖον τοῦ βάθους· ὄρθιον δὲ, ὃ ἂν τοῦ μήκους τὸ βάθος. *Tactic.* c. xxix. p. 51. *edit. Acer.* necnon Arrianus: ὅλως τε παράμηκες μὲν τάγμα ὀνομάζεται, ὅ,τι, περ' ἂν τὸ μῆκος ἔχῃ ἐπιπλεῖον τοῦ βάθους· ὄρθιον δὲ, ὅ,τι περ' ἂν τὸ βάθος τοῦ μήκους. *Tactic.* p. 63. *edit. Scheff.*

b Εἰπὼν ὅτι, &c.] Vulgò, εἶπεν ὅτι ἤδη τοῦτο παρηγγύησε, &c. Muretus legit, ὅτι διὰ τοῦτο. Mihi autem lectio, quæ in margine latuerat hactenus, cæteris anteferenda visa est, εἰπὼν ὅτι εἰδείη τοῦτο, εὐθὺς παρηγγύησε, &c. nisi quòd εὐθὺς illud prætermittendum duxerim. Hanc sanè lectionem interpretes secuti sunt; eámque præstat MS. Bodl.

γύησε τοῖς Πέρσαις παρασκευάζεσθαι, ὡς αὐτίκα δεῆσον ἐπιδιώκειν, ἐπειδὰν ὑπάγωσι τοὺς πολεμίους ὑποφεύγοντες οἱ Ἀρμένιοι, ὥστ' ἐγγὺς ἡμῖν γενέσθαι. Οὕτω δὴ ἡγοῦντο μὲν οἱ Ἀρμένιοι· τῶν δὲ Χαλδαίων οἱ παρόντες, ὡς ἐπλησίαζον οἱ Ἀρμένιοι, ταχὺ [a] ἀλαλάξαντες ἔθεον, ὥσπερ εἰώθασιν, ἐπ' αὐτούς· οἱ δὲ Ἀρμένιοι, ὥσπερ εἰώθεσαν, οὐκ ἐδέχοντο. Ὡς δὲ διώκοντες οἱ Χαλδαῖοι εἶδον ἐναντίους μαχαιροφόρους ἱεμένους ἄνω, οἱ μέν τινες αὐτοῖς πελάσαντες ταχὺ ἀπέθνησκον, οἱ δ' ἔφευγον, οἱ δέ τινες καὶ ἑάλωσαν αὐτῶν. Ταχὺ δὲ [b] εἴχετο τὰ ἄκρα. Ἐπεὶ δὲ τὰ ἄκρα εἶχον οἱ ἀμφὶ τὸν Κῦρον, καθεώρων τε τῶν Χαλδαίων τὰς οἰκήσεις, καὶ ᾐσθάνοντο φεύγοντας αὐτοὺς ἐκ τῶν ἐγγὺς οἰκήσεων. Ὁ δὲ Κῦρος, ὡς πάντες οἱ στρατιῶται ὁμοῦ ἐγένοντο, ἀριστοποιῆσαι παρήγγειλεν. Ἐπεὶ δὲ ἠριστήκεσαν, καταμαθὼν ἔνθα σκοπαὶ ἦσαν αἱ τῶν Χαλδαίων ἐρυμνόν τε ὂν καὶ ἔνυδρον, εὐθὺς ἐτείχιζε φρούριον· καὶ τὸν Τιγράνην ἐκέλευσε

id se non ignorare respondens, edixit Persis ut se pararent, utpote quibus mox insequendum esset, posteaquam Armenii suffugientes paulatim hostes, ut prope nos essent, deducerent. Atque ità præcedebant quidem Armenii; de Chaldæis autem qui aderant, ubi propiùs Armenii accessissent, celeriter clamore sublato, more suo, cursu in eos feruntur: Armenii verò, more *itidem* suo, *impetum illorum* non excipiebant. Ubi vero Chaldæi, qui *hos* persequebantur, viderunt homines gladiis instructos adversùs se sursum tendere, nonnulli cùm ad eos propiùs accesserint statim interfecti sunt, alii in fugam se conjecêre, nonnulli etiam eorum capti sunt. Statim autem juga montium occupata sunt. Cúmque juga ea Cyri milites occupata tenerent, et Chaldæorum domicilia despiciebant, et eos ex proximis domiciliis aufugere animadvertebant. Cyrus autem, cùm milites omnes convenissent, ut pranderent edixit. Pransi verò cùm essent, ipséque animadvertisset locum esse munitum et aquis irriguum, ubi speculæ Chaldæorum erant, statim *ibi* castellum extruere cœpit: Tigranemque jubet ad patrem mittere, eíque,

a Ἀλαλάξαντες] Omnium ferè nationum moris erat, ut à clamore pugnam auspicarentur. "Neque frustrà, *auctore Cæsare*, "antiquitùs institutum est, ut signa undique concinerent, clamorémque universi tollerent: quibus rebus et hostes "terreri, et suos incitari existimaverunt." De *Bello Civili* lib. 3. De Populo Romano sic Polybius: τότε δὴ καὶ τὸ τῶν Ῥωμαίων στρατόπεδον κατὰ τὰ παρ' αὐτοῖς ἔθη συνεψόφησαν τοῖς ὅπλοις· καὶ συναλαλάξαντες, ὥρμησαν ἐπὶ τοὺς πολεμίους, lib. i. p. 35. *edit. Casaub.* De Macedonibus Arriani testimonium exstat: Ὁ δὲ καὶ ἐπαλαλάξαι ἐκέλευσε τοὺς Μακεδόνας, καὶ, &c. de *Exped. Alex.* lib. 1. p. 14. *edit. Gronov.* De Parthis Plutarchus in Crasso· Ὡς δ' ἐγγὺς ἐγένοντο, καὶ σημεῖον ἤρθη παρὰ τοῦ στρατηγοῦ, πρῶτον μὲν ἐπίμπλατο φθογγῆς βαρείας καὶ βρόμου φρικώδους τὸ πεδίον. Πάρθοι γὰρ οὐ κέρασιν, &c. T. i. p. 557. Et omnibus ferè Populis, qui à Græcis *Barbarorum* nomine dicti sunt, immanem illum inconditúmque ante pugnam clamorem alii tribuunt Historici.

b Εἴχετο] Hanc lectionem, tum MSti Bodl. tum editorum quorundam marginibus antea adscriptam, vulgatæ illi, εἶχον, præferendam censeo. Interpretes quidem eam ferè expresserunt omnes; idémque verbum, in formâ etiam passivâ, eidem nomini conjunctum mox adhibet Xenophon πολὺ τὴν οὖν ἔχεσθαι τὰ ἄκρα, &c.

πέμπειν ἐπὶ τὸν πατέρα, καὶ κελεύειν παραγενέσθαι ἔχοντα ὁπόσοι εἶεν τέκτονές τε καὶ λιθοδόμοι. Ἐπὶ μὲν δὴ τὸν Ἀρμένιον ᾤχετο ἄγγελος· ὁ δὲ Κῦρος τοῖς παροῦσιν ἐτείχιζεν.

Ἐν δὲ τούτῳ προσάγουσι τῷ Κύρῳ τοὺς αἰχμαλώτους δεδεμένους, τοὺς δέ τινας καὶ τετρωμένους. Ὡς δὲ εἶδεν, εὐθὺς λύειν μὲν ἐκέλευσε τοὺς δεδεμένους, τοὺς δὲ τετρωμένους, ἰατροὺς καλέσας, θεραπεύειν ἐκέλευσεν. Ἔπειτα ἔλεξε τοῖς Χαλδαίοις, ὅτι ἂν ἥκοι οὔτε ἀπολέσαι ἐπιθυμῶν ἐκείνους, οὔτε πολεμεῖν δεόμενος, ἀλλ' εἰρήνην ποιῆσαι βουλόμενος Ἀρμενίοις καὶ Χαλδαίοις. Πρὶν μὲν οὖν ἔχεσθαι τὰ ἄκρα, οἶδ' ὅτι οὐδὲν ἐδεῖσθε εἰρήνης· τὰ μὲν γὰρ ὑμέτερα ἀσφαλῶς εἶχε, τὰ δὲ τῶν Ἀρμενίων ἤγετε καὶ ἐφέρετε· νῦν δ' ὁρᾶτε δὴ ἐν οἵῳ ἐστέ. Ἐγὼ οὖν ἀφίημι ὑμᾶς οἴκαδε τοὺς εἰλημμένους, καὶ δίδωμι ὑμῖν σὺν τοῖς ἄλλοις Χαλδαίοις βουλεύσασθαι, εἴτε βούλεσθε πολεμεῖν ἡμῖν, εἴτε φίλοι εἶναι. Κἂν μὲν πόλεμον αἱρῆσθε, μηκέτι ἥκετε δεῦρο ἄνευ ὅπλων, εἰ σωφρονεῖτε· ἢν δὲ εἰρήνης δοκῆτε δεῖσθαι, ἄνευ ὅπλων ἥκετε· ὡς δὲ καλῶς ἕξει τὰ ὑμέτερα, ἢν φίλοι γένησθε, ἐμοὶ μελήσει. Ἀκούσαντες δὲ ταῦτα οἱ Χαλδαῖοι, πολλὰ μὲν ἐπαινέσαντες, πολλὰ δὲ δεξιωσάμενοι τὸν Κῦρον, ᾤχοντο οἴκαδε.

Ὁ δὲ Ἀρμένιος ὡς ἤκουσε τήν τε κλῆσιν τοῦ Κύρου, καὶ τὴν πρᾶξιν, λαβὼν τοὺς τέκτονας καὶ τἄλλα, ὅσων ᾤετο δεῖν, ἧκε πρὸς τὸν Κῦρον ὡς ἐδύνατο τάχιστα. Ἐπεὶ δὲ εἶδε τὸν Κῦρον, ἔλεξεν, Ὦ Κῦρε, ὡς ὀλίγα δυνάμενοι προορᾷν ἄνθρωποι περὶ τοῦ

ut statim adesset præcipere, et fabros lignarios ac structuræ lapideæ peritos, quotquot haberet, secum adduceret. Et nuntius quidem ad Armenium profectus est: Cyrus autem cum iis qui aderant structuræ intentus erat.

Intereà verò captivi ad Cyrum vincti adducuntur, et nonnulli etiam vulnerati. *Hos* ut vidit, statim vinctos solvi jussit, et vulneratos, arcessitis medicis, curari præcepit. Deindè Chaldæos *in hunc modum* adlocutus est, non se venisse, quòd illos perditos cuperet, vel bello sibi esset opus, sed quòd inter Armenios Chaldæósque pacem facere vellet. Prius certè quidem quàm *à nobis hæc* juga tenerentur, scio vos pacem minimè expetivisse: nam vestræ res in tuto positæ erant, et Armeniorum facultates agere et ferre solebatis: nunc verò quo sitis loco perspicitis. Itaque vos ego, qui capti estis, domum dimitto, vobísque potestatem cæteris cum Chaldæis deliberandi facio, bellúmne nobiscum gerere velitis, an amicitiam jungere. Bellum quidem si elegeritis, nè sine armis huc ampliùs venite, si sapitis: sin pacis egere vos statueritis, inermes accedite: ut verò benè res vestræ se habeant, si amici fueritis, mihi curæ erit. Hæc Chaldæi cùm audissent multis laudibus Cyrum prosecuti, multúmque dextram ejus amplexi, domum discesserunt.

Armenius autem, ut à Cyro se arcessi, quásque res ille gereret, audisset, adsumptis fabris rebúsque aliis, quibuscunque *illi* opus futurum putabat, quàm poterat celerrimè ad Cyrum contendit. Et Cyrum ubi vidit, O Cyre,

μέλλοντος, πολλὰ ἐπιχειροῦμεν πράττειν. Νῦν γὰρ δὴ καὶ ἐγὼ ἐλευθερίαν μὲν μηχανᾶσθαι ἐπιχειρήσας, δοῦλος, ὡς οὐδεπώποτε, ἐγενόμην· ἐπεὶ δ' ἑάλωμεν, σαφῶς ἀπολωλέναι νομίσαντες, νῦν ἀναφαινόμεθα σεσωσμένοι, ὡς οὐδεπώποτε. Οἳ γὰρ οὐδεπώποτε ἐπαύοντο πολλὰ κακὰ ἡμᾶς ποιοῦντες, νῦν ὁρῶ τούτους ἔχοντας ὥσπερ ἐγὼ ηὐχόμην. Καὶ τοῦτο ἐπίσω, ἔφη, ὦ Κῦρε, ὅτι ἐγὼ, ὥστε ἀπελάσαι Χαλδαίους ἀπὸ τούτων τῶν ἄκρων, πολλαπλάσια ἂν ἔδωκα χρήματα ὧν σὺ νῦν ἔχεις παρ' ἐμοῦ· καὶ ἃ ὑπισχνοῦ ποιήσειν ἀγαθὰ ἡμᾶς, ὅτ' ἐλάμβανες τὰ χρήματα, ἀποτετέλεσταί σοι ἤδη· ὥστε καὶ προσοφείλοντές σοι ἄλλας χάριτας ἀναπεφήναμεν, ἃς ἡμεῖς γε, εἰ μὴ κακοί ἐσμεν, αἰσχυνοίμεθ' ἂν σοι μὴ ἀποδιδόναι· ὦ καὶ ἀποδιδόντες οὐδὲν ἄξιον οὐδ' οὕτω πρὸς εὐεργέτην καταλαμβανόμεθα τοσοῦτον ποιοῦντες. Ὁ μὲν Ἀρμένιος ταῦτ' ἔλεξεν·

Οἱ δὲ Χαλδαῖοι ἧκον δεόμενοι τοῦ Κύρου εἰρήνην σφίσι ποιῆσαι. Καὶ ὁ Κῦρος ἐπήρετο αὐτούς, Ἄλλου του, ἔφη, ὦ Χαλδαῖοι, ἢ τούτου γε ἕνεκα, εἰρήνης νῦν ἐπιθυμεῖτε, ὅτι νομίζετε ἀσφαλέστερον δύνασθαι ζῆν, εἰρήνης γινομένης, ἢ πολεμοῦντες; [a]ἐπεὶ ἡμεῖς

inquit, quàm paucos futurorum eventus *nos* homines prospicere valentes multa peragenda suscipimus! Num et ego nunc libertatem comparare adgressus, in majorem, quàm antehàc unquam, servitutem incidi: postquam verò capti sumus, certò nos periisse rati, majorem nunc, quàm hactenùs unquam, incolumiatem nos adeptos esse manifestum est. Qui enim nunquam multis nos damnis adficere desinebant, hos eo jam in statu esse video, quo ego *hactenus* optabam. Atque hoc scias *velim*, Cyre, inquit, multò me majorem daturum fuisse pecuniam, quàm tu nunc à me acceperis, ut jugis hisce Chaldæi depellerentur: jamque *adeo* cumulatè præstitisti, quæ nobis te beneficia præstaturum pollicebare, cùm pecuniam illam acciperes: itaque prætereà debere nos alias etiam tibi gratias manifestum est, quas sanè nos, nisi improbi simus, pudeat tibi non referre: cui licèt referamus, *tamen* nè sic quidem pro merito quidquam nos facere erga virum *plura* qui in nos contulit beneficia comperiemur. Hæc quidem dixit Armenius:

Chaldæi verò venientes orabant Cyrum ut pacem cum ipsis faceret. Et eos interrogabat Cyrus, Ecquâ de causâ, Chaldæi, aliâ, nunc pacem cupitis, nisi quòd existimetis tutiùs *vos*, pace factâ, quàm si bellum geratis, degere posse? quandoquidem nos juga tenemus. Adsensi sunt Chaldæi.

a Ἐπεὶ ἡμεῖς τ' ἄκρα, &c.] Vulgò, ἐπεὶ καὶ ἡμεῖς ταῦτ' ἐλέγομεν. Τἄλλα ἔχομεν, ἔφασαν, &c. Absurdè quidem, ut mihi videtur, tum scripturæ ratione tum distinctionis. Ista incertè, τἄλλα ἔχομεν, ad Chaldæos nequaquam referri possunt; cùm ex iis, quæ mox subjungit Cyrus, satis lĩquet, Chaldæos nullam aliam ob causam, nisi ut securiùs degerent, petiisse pacem. Subjicit enim ille, "At quid si *aliæ* sint causæ, "quamobrem pacem peteretis? Quid si, "pace factâ, non securiores tantùm ab "hostibus, sed et ditiores futuri sitis?" Quare, illud τἄλλα rejiciendum est, et integrum Chaldæorum responsum verbo isto, ἔφασαν, adsensum denotante, absolvi putandum. Simili modo ejus compositum mox adhibetur, Συνέφασαν καὶ τοῦτο, et paulò post, ipsa iterata sunt verba: Ἔφασαν οἱ Χαλδαῖοι. Leunclavius quidem vul-

τ' ἄκρα ἔχομεν. Ἔφασαν οἱ Χαλδαῖοι. Καὶ ὅς, Τί δὲ, ἔφη, εἰ καὶ ἄλλα ὑμῖν ἀγαθὰ προσγένοιτο διὰ τὴν εἰρήνην; Ἔτι ἂν, ἔφασαν, μᾶλλον εὐφραινοίμεθα. Ἄλλο τι οὖν, ἔφη, ᵃδιὰ τὸ γῆς σπανίζειν ἀγαθῆς, νῦν πένητες νομίζετ' εἶναι; Συνέφασαν καὶ τοῦτο. Τί οὖν; ἔφη ὁ Κῦρος, βούλοισθ' ἂν ἀποτελοῦντες ὅσα περ ᵇοἱ ἄλλοι Ἀρμένιοι, ἐξεῖναι ὑμῖν τῆς Ἀρμενίας γῆς ἐργάζεσθαι, ὁπόσην ἂν βούλησθε; Ἔφασαν οἱ Χαλδαῖοι, Εἰ πιστεύοιμεν μὴ ἀδικήσεσθαι. Τί δὲ σὺ, ἔφη, ὦ Ἀρμένιε; βούλοιο ἂν τὴν νῦν ἀργὸν οὖσαν γῆν ἐνεργὸν γενέσθαι, εἰ μέλλοιεν τὰ νομιζόμενα παρά σοι ἀποτελεῖν οἱ ἐργαζόμενοι; Ἔφη ὁ Ἀρμένιος πολλοῦ ἂν τοῦτο πρίασθαι· πολὺ γὰρ ἂν αὐξάνεσθαι τὴν πρόσοδον. Τί δ' ὑμεῖς, ἔφη, ὦ Χαλδαῖοι; ἐπεὶ ὄρη ἀγαθὰ ἔχετε, ἐθέλοιτ' ἂν ἐᾶν νέμειν ταῦτα τοὺς Ἀρμενίους, εἰ ὑμῖν μέλλοιεν οἱ νέμοντες τὰ δίκαια ἀποτελεῖν;

Et ille, Quid igitur, inquit, si et alia vobis ex pace accedant commoda? Majori adhuc, aiunt illi, gaudio adficiemur. Quid ergò aliud, inquit, causæ esse arbitremini cur pauperes sitis, nisi quòd fertilis soli penuriâ laboretis? Hoc quoque *illi* adsensi sunt. Quid ergò? inquit Cyrus, velletìsne vobis, pendentibus ea quæ cæteri Armenii pendunt, liceret tantum agri Armenii colere, quantum vobis *ipsis* liberet? Si crederemus, aiebant Chaldæi, nullam nobis injuriam illatum iri. Quid tu verò, Armenie? vellésne solum id quod nunc incultum est, cultum reddi, si cultores id, quod apud te in more positum est, penderent? Magno *se* hoc redempturum, ait Armenius: quòd *eâ ratione* reditus longè *sibi* futurus esset auctior. Quid autem vos, inquit, Chaldæi? cùm montes fertiles habeatis, an velletis Armeniis permittere ut iis, pro pascuis uterentur, si vobis ii, pascuis qui utentur istis,

gatam lectionem corruptam esse vidit, locumque adeò hoc modo restituendum censuit; ἐπεὶ καὶ ἡμεῖς ταῦτα λέγομεν οἳ τ' ἄκρα ἔχομεν, ἔφασαν οἱ Χαλδαῖοι. Et hæc in versione verba expressit. At quo sensu idoneo, ipse quidem hariolari nequeo. Huic certè conjecturæ, vulgatæque etiam lectioni ea omninò anteferenda videtur, quam Camerarium ex libro Budensi sumpsisse testatur Leunclavius, quámque adeò reponendam curavimus. Sensum enim fundit, huc qui optimè quadrat. Cyrus utique suprà paulò de Chaldæis dixerat: Πρὶν μὲν οὖν ἔχεσθαι τὰ ἄκρα, οἶδ' ὅτι οὐδὲν ἐδεῖσθε εἰρήνης· τὰ μὲν γὰρ ὑμέτερα ἀσφαλῶς εἶχε ———Aptè igitur eos pacem tandem petentes interrogat, annon hostium metu id facerent; cùm jam ipsis prærepta erant juga illa, quibus se tueri solebant. MS. etiam Bodl. lectionis nostræ servat vestigia, qui dat, ἐπεὶ ἡμεῖς τἄλλα ἔχομεν, &c. neque enim ista habet, ταῦτ' ἐλέγομεν, sed hæc, τάδε λέγομεν, inter lineas tantùm, manu non nimìs sagaci scripta, repræsentat.

a Διὰ τὸ γῆς, &c.] Similis etiam agrorum, quos Chaldæi Chalybesque olim coluêre, sterilitas, eandem utriùsque Populi, nunc hoc nunc illud sortiti nomen, regionem fuisse nonnihil probationis exhibet. Quæ enim de Chaldæis hìc atque alibi dicit Xenophon, ea ferè de Chalybum regione alii tradunt Auctores:

—μετὰ δὲ σμυγερώτατοι ἀνδρῶν
Τρηχεῖην Χάλυβες καὶ ἀτειρέα γαῖαν ἔχουσιν,
Ἐργατίναι·———

Andron. Rhod. *Argonaut.* lib. ii. v. 374. et. seq.

Τοῖς δ' ἔπι, καὶ Χάλυβες στυφελὴν καὶ ἀπηνέα γαῖαν
Ναίουσιν,———

Dionys. v. 768.

b Οἱ ἄλλοι, &c.] Vocem ἄλλοι suspectam habuêre Stephanus et Leunclavius. Locus certè eam minimè postulat, nesciuntque MS. Bodl. et edit. Aldina.

Ἔφασαν οἱ Χαλδαῖοι· πολλὰ γὰρ ἂν ὠφελεῖσθαι, οὐδὲν πονοῦντας. Σὺ δὲ, ἔφη, ὦ Ἀρμένιε, ἐθέλοις ἂν ταῖς τούτων νομαῖς χρῆσθαι, εἰ μέλλοις, μικρὰ ὠφελῶν Χαλδαίους, πολὺ πλείω ὠφεληθήσεσθαι; Καὶ σφόδρα ἂν, ἔφη, [a]εἴπερ οἰοίμην, ἀσφαλῶς νέμειν. Οὐκοῦν, ἔφη, ἀσφαλῶς ἂν νέμοιτε, εἰ τὰ ἄκρα ἔχοιτε σύμμαχα; Ἔφη ὁ Ἀρμένιος. Ἀλλὰ μὰ Δί', ἔφασαν οἱ Χαλδαῖοι, οὐκ ἂν ἡμεῖς ἀσφαλῶς ἐργαζοίμεθα μὴ ὅτι τὴν τούτων, ἀλλ' οὐδ' ἂν τὴν ἡμετέραν, εἰ οὗτοι τὰ ἄκρα ἔχοιεν. Εἰ δ' ὑμῖν ἂν, ἔφη, τὰ ἄκρα σύμμαχα εἴη; Οὕτως ἂν, ἔφασαν, ἡμῖν καλῶς ἔχοι. Ἀλλὰ μὰ Δί', ἔφη ὁ Ἀρμένιος, οὐκ ἂν ἡμῖν νῦν καλῶς ἔχοι, εἰ οὗτοι παραλήψονται πάλιν τὰ ἄκρα, ἄλλως τε καὶ τετειχισμένα. Καὶ ὁ Κῦρος εἶπεν, Οὑτωσὶ τοίνυν ἐγὼ ποιήσω, ἔφη· οὐδετέροις ὑμῶν τὰ ἄκρα παραδώσω, ἀλλὰ ἡμεῖς φυλάξομεν αὐτά· κἂν ἀδικῶσιν ὑμῶν ὁποτεροιοῦν, σὺν τοῖς ἀδικουμένοις ἐσόμεθα ἡμεῖς.

Ὡς δ' ἤκουσαν ταῦτα ἀμφότεροι, ἐπήνεσαν, [b]καὶ ἔλεγον ὅτι οὕτως ἂν εἴη μόνως εἰρήνη βεβαία. Καὶ ἐπὶ τούτοις ἔδοσαν καὶ ἔλαβον πάντες τὰ πιστά· καὶ ἐλευθέρους μὲν ἀμφοτέρους ἀπ' ἀλλήλων εἶναι συνετίθεντο, [c]ἐπιγαμίας δ' εἶναι, καὶ ἐπερ-

quod æquum esset, penderent? Adsentiebantur Chaldæi: magnas quippe *se hâc ratione* capturos utilitates, sine ullo *suo* labore *dicebant*. At tu, inquit, Armenie, vellésne pascuis horum uti, si pro parvo Chaldæis adlato commodo, multò majores ipse utilitates ceperis? Et admodùm *quidem*, ait, si putarem fore, ut pascuis tutò frui liceret. Nempe, ait, tutò *his* fruemini pascuis, si vestrum sit quicquid adjumenti ab his jugis peti possit? Adsentiebatur Armenius. At nos profectò, inquiunt Chaldæi, nequaquam tutò non modò istorum, sed nè nostrum quidem *agrum* culturi sumus, si juga *montium* isti teneant. *Quid* verò si vobis, inquit, auxilio sint ista juga? *Nimirum* ità, respondent illi, benè nobiscum ageretur. Sed profectò, ait Armenius, non benè nobiscum ageretur, si juga *montium* hi reciperent, præsertim *castello jam* muróque munita. Et Cyrus, Ego igitur sic faciam, inquit; neutris vestrûm hæc juga tradam, sed nos ea custodiemus: ac si vestrûm alterutri auctores injuriæ fuerint, à læsis nos stabimus.

Hæc cùm utrique audîssent, collaudârunt, soláque hâc ratione pacem firmam fore dixerunt. Atque his conditionibus fidem dabant accipiebántque omnes; atque *inter se* constituebant, ut per utrosque utrisque sua constaret libertas, ut connubia, cultus agrorum, et pastiones utrisque com-

a Εἴπερ, &c.] Sic restitui, Stephanum secutus. Vulgò legitur, εἰ οἰοίμην ἀσφαλὲς νέμειν. MS. Bodl. etiam dat ἀσφαλῶς quod et Muretus recipiendum monuit.

b Καὶ ἔλεγον ὅτι] In plerisque editis ὅτι non comparet. Illud autem non temerè est à nobis admissum, cùm et à Stephano sit expressum, et à MSto Bodl. repræsentatum.

c Ἐπιγαμίας δ' εἶναι, &c.] Vox ἐπιγαμία, *jus illud matrimonii contrahendi* significat, quo gentes, inter quas odia jam sublata sunt, fœdera tandem firmare, et vitæ officiorumque omnium societatem stabilire solebant. Nec aliud ferè apud Herodotum sonat ista γάμων ἐπαλλαγὴ inter Lydos Medósque pacta: Οἱ δὲ Λυδοί τε καὶ οἱ Μῆδοι. ——τῆς μάχης -ε ἐπαύσαντο, καὶ μᾶλλόν τι ἔσπε-

γασίας, καὶ ἐπινομίας· καὶ συμμαχίαν δὲ κοινὴν, εἴ τις ἀδικοίη ὁποτέρουσοῦν. Οὕτω μὲν τότε διεπράχθη· καὶ νῦν δὲ ἔτι οὕτω διαμένουσιν αἱ τότε γενόμεναι συνθῆκαι Χαλδαίοις καὶ τῷ τὴν Ἀρμενίαν ἔχοντι. Ἐπεὶ δὲ αἱ συνθῆκαι ἐγένοντο, εὐθὺς συνετείχιζόν τε ἀμφότεροι προθύμως ὡς κοινὸν φρούριον, καὶ τὰ ἐπιτήδεια συνεισῆγον. Ἐπεὶ δὲ ἑσπέρα προσῄει, συνδείπνους ἔλαβεν ἀμφοτέρους πρὸς ἑαυτὸν, ὡς φίλους ἤδη. Συνδειπνούντων δὲ εἶπέ τις τῶν Χαλδαίων ὅτι τοῖς μὲν ἄλλοις σφῶν πᾶσιν εὐκτὰ ταῦτα εἴη· εἰσὶ δὲ τινὲς τῶν Χαλδαίων οἳ ληΐζόμενοι ζῶσι, καὶ οὐδ' ἂν ἐπίσαιντο ἐργάζεσθαι, οὐδ' ἂν δύναιντο, εἰθισμένοι ἀπὸ πολέμου βιοτεύειν· ἀεὶ γὰρ ἐλῄζοντο καὶ ἐμισθοφόρουν, καὶ πολλάκις μὲν [a] παρὰ τῷ Ἰνδῶν βασιλεῖ, (καὶ γὰρ, ἔφασαν, πολύχρυσος ὁ ἀνὴρ) πολλάκις δὲ καὶ παρ' Ἀστυάγει. Καὶ ὁ Κῦρος ἔφη, Τί οὖν οὐ καὶ νῦν παρ' ἐμοὶ μισθοφοροῦσιν; ἐγὼ γὰρ δώσω ὅσον τὶς καὶ ἄλλος πλεῖστον δήποτε ἔδωκε. Συνέφασάν οἱ, καὶ πολλούς γε ἔσεσθαι ἔλεγον τοὺς ἐθελήσοντας. Καὶ ταῦτα μὲν δὴ οὕτω συνωμολογεῖτο.

munes essent; ut communibus etiam copiis sese juvarent, si quis alterutros læderet. Ad hunc modum res tunc confectæ sunt: atque hâc etiam tempestate, pacta hæc inter Chaldæos et eum qui Armeniam tenet id temporis inita, sic manent. Postquam pactiones hæ factæ sunt, statim utrique castellum, quasi quod esset commune, conjunctis alacriter operis extruunt, et unà res *in id* necessarias important. Adpetente autem vesperâ, *Cyrus* utrosque, velut jam amicos, in cœnæ apud se societatem adsumpsit. Iis autem unà cœnantibus, quidam ex Chaldæis inquit, cæteris quidem suæ gentis omnibus optabilia hæc accidere *pacta;* verùm quidam, *ait*, sunt Chaldæi, qui rapto vivunt, ac terræ neque norint colendæ rationem, neque *adhibere* possint, quippe qui victum bello quærere consueti sunt: semper enim latrocinari solent et stipendia mereri, sæpè quidem apud Indorum regem, (is etenim, aiebant, auro abundat) sæpéque etiam apud Astyagem. Et Cyrus inquit, Cur igitur non etiam hoc tempore apud me stipendia faciunt? nam ego *tantum iis* dabo, quantum aliquis alius unquam dedit. Adsensi sunt ei, multósque fore dixerunt, qui *hoc facere* vellent. Et de his quidem *inter eos* ità conveniebat.

σαν καὶ ἀμφότεροι εἰρήνην ἑωϋτοῖσι γενέσθαι· οἱ δὲ συμβιβάσαντες αὐτοὺς, ἔσαν οἵδε, Συέννεσίς τε ὁ Κίλιξ, καὶ Λαβύνητος ὁ Βαβυλώνιος· οὗτοί σφι καὶ τὸ ὅρκιον οἱ σπεύσαντες γενέσθαι ἔσαν, καὶ γάμων ἐπαλλαγὴν ἐποίησαν.———Ἄνευ γὰρ ἀναγκαίης ἰσχυρῆς συμβάσιες ἰσχυραὶ οὐκ ἐθέλουσι συμμένειν. lib. I. c. 74. Huc faciunt etiam Oratoris Græci verba, ἐν τῷ Βυζαντίων ψηφίσματι· Δεδόχθω τῷ Δάμῳ τῷ Βυζαντίων καὶ Περινθίων Ἀθηναίοις δόμεν ἐπιγαμίαν, πολιτείαν, κτάσιν γᾶς, &c. de *Coronâ* p. 487. *edit. Wolf. Francf.*

a Παρὰ τῷ, Ἰνδῶν βασιλεῖ, (καὶ γὰρ, ἔφασαν.

&c.] Duæ fuêre nationes, quibus Indorum pariter nomen tribuêre Veteres. Harum una, in Indiâ Orientali propriè dictâ, inter Gangem quæ ferè jacet Indúmque amnes; altera, in Æthiopiâ, sedem nacta est. Neque hæc neque illa Indorum natio est, de quâ hìc agit Xenophon; cujus Historiæ ratio postulat, ut Indos etiam non longè ab Armeniâ Chaldæorúmque seu Chalybum regione distantes investigemus.

Ὁ δὲ Κῦρος ὡς ἤκουσεν ὅτι πρὸς τὸν Ἰνδὸν πολλάκις οἱ Χαλδαῖοι ἐπορεύοντο, ἀναμνησθεὶς ὅτι ἦλθον παρ' αὐτοῦ [a] κατασκεψόμενοι εἰς Μήδους τὰ αὐτῶν πράγματα, καὶ ᾤχοντο πρὸς τοὺς πολεμίους, ὅπως αὖ καὶ τὰ ἐκείνων κατίδωσιν, ἐβούλετο μαθεῖν τὸν Ἰνδὸν τὰ αὐτῷ πεπραγμένα. Ἤρξατο οὖν λόγου τοιοῦδε· Ὦ Ἀρμένιε, ἔφη, καὶ ὑμεῖς οἱ Χαλδαῖοι, εἴπατέ μοι, εἴ τινα ἐγὼ τῶν ἐμῶν ἀποστέλλοιμι πρὸς τὸν Ἰνδὸν, συμπέμψαιτ' ἂν μοι τῶν ὑμετέρων, οἵτινες αὐτῷ τήν τε ὁδὸν ἡγοῖντο ἂν, καὶ συμπράττοιεν ὥστε γενέσθαι ἡμῖν παρὰ τοῦ Ἰνδοῦ ἃ ἐγὼ βούλομαι; ἐγὼ γὰρ χρήματα μὲν προσγενέσθαι ἔτι ἂν βουλοίμην ἡμῖν, ὅπως ἔχω καὶ μισθὸν ἀφθόνως διδόναι οἷς ἂν δέῃ, [b] καὶ τιμᾷν καὶ δωρεῖσθαι τῶν στρατευομένων τοὺς ἀξίους· τούτων μὲν δὴ ἕνεκα βούλομαι ὡς ἀφθονώτατα χρήματα ἔχειν. Δεῖσθαι δὲ [c] τούτων νομίζων, τῶν μὲν ὑμετέρων ἡδύ μοι φείδεσθαι· (φίλους γὰρ ὑμᾶς ἤδη νομίζων) παρὰ δὲ τοῦ Ἰνδοῦ ἡδέως ἂν λάβοιμι, εἰ διδοίη. Ὁ οὖν ἄγγελος, ᾧ κελεύω ὑμᾶς ἡγεμόνας δοῦναι καὶ συμπράκτορας γενέσθαι, ἐλθὼν ἐκεῖσε, λέξει ὧδε, Ἔπεμψέ με Κῦρος, ὦ Ἰνδὲ, πρός σε· φησὶ δὲ προσδεῖσθαι χρημάτων, προσδεχόμενος καὶ ἄλλην στρατιὰν οἴκοθεν ἐκ Περσῶν· (καὶ γὰρ προς-

Cyrus autem cùm audîsset Chaldæos ad Indum sæpè profiscici, recordatus ab hoc venisse *quosdam* ad Medos, qui, quid rerum apud ipsos gereretur, explorarent, eosdémque *deindè* ad hostes etiam abiisse, ut illorum quoque res perspicerent, Indum edoctum volebat ea quæ à se gesta fuissent. Itaque hujusmodi sermonem suscepit: Dicite mihi, Armenie, vósque Chaldæi, inquit, si quem ego meorum ad Indum mitterem, vestrûmne aliquos unà mitteretis, qui et itineris duces ipsi, et adjumento essent in iis ab Indo impetrandis, quæ ipse cupio? nam ego quidem accedere nobis adhuc aliquid pecuniæ velim, ut iis, quibus opus est, stipendia abundè numerare possim, et milites, qui meriti fuerint, honore muneribúsque cohonestare: his quidem de causis quàm maximam pecuniæ mihi copiam esse volo. Quamvìs autem eis *mihi* opus esse statuam, mihi tamen omninò libet vestris parcere; (nam vos jam in numero amicorum pono) at ab Indo, si daret, libenter acciperem. Itaque nuntius, cui duces vos ut detis atque adjumento sitis hortor, cùm eò venerit, in hunc modum loquetur, Cyrus ad te me misit, Inde; qui pecuniâ sibi opus esse dicit, quòd à Persis alium etiam domo exercitum expectet: (omninò enim expecto, inquit) quaprop-

a. Κατασκεψόμενοι] Rectè hanc scripturam in locum vulgatæ istius, κατασκεψάμενοι, substituit Stephanus. Huic Leunclavius etiam accedit, qui κατασκεψόμενοι margini adscripsit. Frequens autem est hujusmodi error.

b Καὶ τιμᾷν καὶ δωρεῖσθαι, &c.] Apud Persas moris erat antiqui, eorum omnium beneficia, qui fortiter quid ac præclarè gesserant, aut de Republicâ benè meriti erant, prolixè cumulatéque remunerari. Κάρτα γὰρ, teste Herodoto, ἐν τοῖσι Πέρσῃσι αἱ ἀγαθοεργίαι ἐς τὸ πρόσω μεγάθεος τιμῶνται. lib. 3. c. 154. Militaribus etiam præmiis eos, qui se strenuos præbuerant, donabant Persarum reges: μετὰ δὲ τὴν μάχην, δῶρα κάλλιστα μὲν ἐξέπεμψε καὶ μέγιστα τῷ Ἀρταγέρσου παιδὶ, τοῦ, &c. Plutarch. in Artaxerxe, T. 1. p. 1017.

c Τούτων νομίζων, &c.] In editis quibus-

δέχομαι, ἔφη) ἢν οὖν αὐτῷ πέμψῃς ὁπόσα σοι προχωρεῖ, φησὶν, ἢν Θεὸς ἀγαθὸν τέλος διδῷ αὐτῷ, πειράσεσθαι ποιῆσαι, ὥςε σὲ νομίζειν καλῶς βεβελεῦσθαι χαρισάμενον αὐτῷ. Ταῦτα μὲν ὁ παρ' ἐμῦ λέξει· τοῖς δὲ παρ' ὑμῶν ὑμεῖς αὖ ἐπιςέλλετε ὅ,τι ὑμῖν δοκεῖ συμφέρον εἶναι. Καὶ ἢν μὲν λάβωμεν, ἔφη, παρ' αὐτοῦ, ἀφθονωτέροις χρησόμεθα· ἢν δὲ μὴ λάβωμεν, εἰςόμεθα ὅτι οὐδεμίαν αὐτῷ χάριν ὀφείλομεν, ἀλλ' ἐξέςαι ἡμῖν, ἐκείνυ ἕνεκα, πρὸς τὸ ἡμέτερον συμφέρον πάντα τίθεσθαι. Ταῦτ' εἶπεν ὁ Κῦρος, νομίζων τοὺς ἰόντας Ἀρμενίων καὶ Χαλδαίων τοιαῦτα λέξειν περὶ αὐτοῦ, οἷα αὐτὸς ἐπεθύμει πάντας ἀνθρώπους καὶ λέγειν καὶ ἀκούειν περὶ αὐτοῦ. Καὶ τότε μὲν δὴ, ὁπότε καλῶς εἶχε, διαλύσαντες τὴν σκηνὴν, ἀνεπαύοντο.

Τῇ δ' ὑςεραίᾳ ὅ,τε Κῦρος ἔπεμπε τὸν ἄγγελον, ἐπιςείλας ὅσαπερ ἔφη, καὶ ὁ Ἀρμένιος καὶ οἱ Χαλδαῖοι συνέπεμπον οὓς ἱκανωτάτυς ἐνόμιζον εἶναι καὶ συμπρᾶξαι καὶ εἰπεῖν περὶ Κύρυ τὰ προςήκοντα. Ἐκ δὲ τούτου ὁ Κῦρος ἐπιτελέσας τὸ φρούριον καὶ φύλαξιν ἱκανοῖς καὶ τοῖς ἐπιτηδείοις πᾶσι, καὶ ἄρχοντα αὐτῶν καταλιπὼν Μῆδον, ὃν ᾤετο Κυαξάρει ἂν μάλιςα χαρίσασθαι, ἀπῄει συλλαβὼν ᵃτὸ ἕτερον ςράτευμα ὅσον τε ἦλθεν

ter si tantum ei miseris pecuniæ, quantum commodè pro felici rerum tuarum successu poteris, ait se, si bonum *rerum* exitum Deus ipsi dederit, studiosè id operam daturum, ut existimes, benè *te rebus tuis* consuluisse, qui sis ipsi gratificatus. Hæc qui à me mittetur nuntius dicet: quos autem vos unà mittetis, iis ipsi, quicquid vobis ex usu fore videtur, imperate. Et *pecuniam* quidem, inquit, ab eo si acceperimus, major nobis *illius* copia fuerit; sin minùs sciemus nullam nos ei gratiam debere, sed quod ad eum adtinet, licebit nobis omnia è re nostrâ constituere. Hæc Cyrus aiebat, cùm *quidem* existimaret, Armenios Chaldæósque, qui illuc proficiscerentur, talia de se dicturos, qualia omnes ipse homines et de se dicere cupiebat et audire. Ac tum quidem, ubi visum fuisset opportunum, soluto convivio, quieti se dederunt.

Postridiè Cyrus hunc nuntium mittebat, cùm ea omnia, quorum meminerat, mandata ipsi dedisset; et Armenius ac Chaldæi *de suis* mittebant *eos*, quos et ad conficiendum hoc negotium maximè idoneos arbitrabantur, et ad prædicandum ea de Cyro quæ conveniret. Secundùm hæc, Cyrus, cùm et militibus præsidiariis, quot satìs essent *in eo constitutis*, et rebus omnibus necessariis, castellum absolvisset, Medúmque eorum præfectum reliquisset, quem quòd præficeret, rem Cyaxari maximè gratam facturum

dam legitur, δεῖσθαι δὲ τούτων νομίζω· τῶν μὲν, &c. Sed meritò Stephanus lectionem, quam in margine repererat,——νομίζων, τῶν, &c. illâ alterâ meliorem censuit, atque adeò in textum recepit. Hanc Leunclavius etiam in Versione suâ secutus est, et repræsentat MS. Bodl. Familiaris sanè Xenophonti est hujusmodi sermonis ἀνακολυθία, quam temerè quidam in Sacris libris damnârunt: Apoc. ii. 26. et alibi sæpe.

a Τὸ ἕτερον] Editio Aldina et MS. Bodl. illud ἕτερον non agnoscunt. Stephano quoque et Leunclavio minùs placet istud

ἔχων καὶ ὃ παρ' Ἀρμενίων προσέλαβε, καὶ τὲς παρὰ Χαλδαίων, εἰς τετρακισχιλίες, οἳ ᾤοντο καὶ συμπάντων τῶν ἄλλων κρείττονες εἶναι.

Ὡς δὲ κατέβη εἰς τὴν οἰκουμένην, οὐδεὶς ἔμεινεν ἔνδον Ἀρμενίων, οὔτε ἀνὴρ, οὔτε γυνὴ, ἀλλὰ πάντες ὑπήντων, ἡδόμενοι τῇ εἰρήνῃ [b] καὶ φέροντες καὶ ἄγοντες εἴ τί ἕκαστος ἄξιον εἶχε. Καὶ ὁ Ἀρμένιος τέτοις ἐκ ἤχθετο, ὅτως ἂν νομίζων καὶ τὸν Κῦρον μᾶλλον ἥδεσθαι τῇ ὑπὸ πάντων τιμῇ. Τέλος δ' ἐν ὑπήντησε καὶ ἡ γυνὴ τε Ἀρμενίε, τὰς θυγατέρας ἔχεσα, καὶ τὸν νεώτερον υἱόν· καὶ σὺν ἄλλοις δώροις καὶ τὸ χρυσίον ἐκόμιζεν, ὃ πρότερον οὐκ ἤθελε λαβεῖν ὁ Κῦρος. Καὶ ὁ Κῦρος ἰδὼν, εἶπεν, Ὑμεῖς ἐμὲ οὐ ποιήσετε μισθοῦ περιϊόντα εὐεργετεῖν· ἀλλὰ σὺ, ὦ γύναι, ἔχεσα ταῦτα τὰ χρήματα ἃ φέρεις, ἄπιθι, καὶ τῷ Ἀρμενίῳ μηκέτι δὸς αὐτὰ κατορύξαι· ἔκπεμψον δὲ τὸν σὸν υἱὸν ὡς κάλλιςα ἀπ' αὐτῶν κατασκευάσασα ἐπὶ τὴν ςρατείαν· ἀπὸ δὲ τῶν λοιπῶν κτῶ καὶ σαυτῇ, καὶ τῷ ἀνδρὶ, καὶ ταῖς θυγατράσι, καὶ τοῖς υἱοῖς ὅ,τι κεκτημένοι καὶ κεκοσμημένοι κάλλιον καὶ ἥδιον τὸν αἰῶνα διάξετε· εἰς δὲ τὴν γῆν, ἔφη, ἀρκείτω τὰ σώματα, ὅταν ἕκαςος τελευτήσῃ, κατακρύπτειν. Ὁ μὲν ταῦτα εἰπὼν παρήλαυνεν· ὁ δὲ Ἀρμένιος

se existimabat, discessit, sumptis secum et copiis, quas adduxerat, et iis quas ab Armeniis acceperat; et iis, quas Chaldæi miserant, hominum ad quatuor milia, qui vel reliquis omnibus præstantiores se arbitrabantur.

Ubi autem in regionis loca culta descendisset, Armeniorum nemo se domi continuit, nec vir, nec fœmina, sed obviam processerunt omnes, de pace læti, *secum* ferentes adducentésque quidquid alicujus pretii quilibet haberet. Atque his Armenius minimè offendebatur, quòd Cyrum magis hoc modo delectatum iri *delato* ab omnibus honore putaret. Tandem et uxor Armenii occurrit, filias ac minorem natu filium secum ducens: ac præter alia munera illud aurum quoque adferebat, quod Cyrus antea accipere noluerat. Hoc Cyrus ubi vidisset, Vos non effecturi estis, inquit, ut mercedis causâ hinc inde proficiscendo benè merear; verùm tu, mulier, abi, istas quas adfers pecunias retine, nec eas posthac Armenio defodiendas dederis: sed filium tuum *potiùs* his à te quàm pulcherrimè exornatum in militiam mittito: de reliquis autem et marito, et filiabus, et filiis id comparato, quod consecuti quóque ornati elegantiùs atque jucundiùs vitam traducatis: ubi verò quisque defunctus erit, satìs esto, corpora sub terrâ condere. Hæc cùm dixisset progressus est: Armenius autem, cæterique homines universi

vocabulum: mihi quidem tollendum videtur, utpote quod commodè hic stare nequeat.

a Καὶ φέροντες ϗ, &c.] De muneribus quæ regi Persarum ii, quorum fines transiret, offerre solebant, vide sis Æliani *Var. Histor.* lib. 1. cap. 31. Notandum est MStum Bodl. exhibere.———ϗ ἄγοντες ὅ,τι ἕκαςος, &c. Vel hæc, vel illa, quam damus lectio stare potest.

συμπροὔπεμπε, καὶ οἱ ἄλλοι πάντες ἄνθρωποι, ἀνακαλοῦντες [a] τὸν εὐεργέτην, τὸν ἄνδρα τὸν ἀγαθόν. Καὶ ταῦτ' ἐποίουν, ἕως ἐκ τῆς χώρας ἐξέπεμψαν. Συναπέστειλε δὲ αὐτῷ ὁ Ἀρμένιος καὶ στρατιὰν πλείονα, ὡς εἰρήνης οἴκοι οὔσης. Οὕτω δὴ ὁ Κῦρος ἀπῄει κεχρηματισμένος, οὐχ ἃ ἔλαβε μόνον χρήματα, ἀλλὰ πολὺ πλείονα τούτων ἑτοιμασάμενος διὰ τὸν τρόπον, ὥστε λαμβάνειν ὁπότε δέοιτο. Καὶ τότε μὲν ἐστρατοπεδεύσαντο ἐν τοῖς μεθορίοις. Τῇ δ' ὑστεραίᾳ τὸ μὲν στράτευμα καὶ τὰ χρήματὰ ἔπεμψε πρὸς Κυαξάρην, (ὁ δὲ πλησίον ἦν, ὥσπερ ἔφησεν·) αὐτὸς δὲ σὺν Τιγράνῃ καὶ Περσῶν τοῖς ἀρίστοις ἐθήρα ὅπου ἐπιτυγχάνοιεν θηρίοις, καὶ εὐφραίνετο. Ἐπεὶ δὲ ἀφίκετο εἰς Μήδους, [b] τὰ χρήματα ἔδωκε τοῖς ἑαυτοῦ ταξιάρχοις, ὅσα ἐδόκει ἑκάστῳ ἱκανὰ εἶναι, ὅπως καὶ ἐκεῖνοι ἔχοιεν τιμᾷν εἴ τινας [c] ἄγαιντο τῶν ὑφ' ἑαυτούς· ἐνόμιζε γὰρ, εἰ ἕκαστος τὸ μέρος ἀξιέπαινον ποιήσειε, τὸ ὅλον αὐτῷ καλῶς ἔχειν. Καὶ αὐτὸς δὲ, εἴ τι που καλὸν ἴδοι εἰς τὴν στρατιὰν, τοῦτο κτώμενος [d] ἐδωρεῖτο

eum unà deducebant, altâ voce appellantes *plurimorum* beneficiorum auctorem, virum illum bonum. Idque *assidue* faciebant donec extra regionem *suam* deduxissent. Armenius verò majorem etiam exercitum ei adjunxit, quippe qui domi pacem haberet. Atque ità Cyrus abiit, non iis solùm, quas acceperat, pecuniis locupletatus, sed patefactâ *amabili* morum facilitate ad multò his majores viâ, adeò ut *eas*, quoties esset opus, sumere posset. Ac tum quidem in finibus castra metati sunt. Postridiè copias pecuniásque ad Cyaxarem misit, (is autem propè aberat, quemadmodùm dixerat;) ipse cum Tigrane ac Persarum optimatibus venabatur ubicunque in feras incidissent, atque *ità* se oblectabat. In Medorum verò regionem cùm pervenisset, suis cohortium præfectis pecunias dedit, quantum *scilicet earum* cuique satìs esse arbitrabatur, ut illi etiam haberent unde suos honoris ergo ornarent, si quos admirarentur: existimabat enim, si quisque partem *exercitûs sibi mandatam* laude dignam redderet, fore ut totus *exercitus* egregiè comparatus esset. Ipse quoque, si quid uspiam videret quod exercitui posset esse ornamento, id ubi comparâsset, dignissimis *quibusque* donabat: quippe

a Τὸν εὐεργέτην, τὸν, &c.] Elegantiam simul et emphasin orationi consiliat articuli hæc iteratio; cujus etiam apud Sacros Scriptores exempla reperiuntur: Καὶ ἡμεῖς πεπιστεύκαμεν ὅτι σὺ εἶ ὁ Χριστὸς, ὁ υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος. Joh. vi. 69.——ὃς ἐκάθιζεν ἐν δεξιᾷ τοῦ θρόνου τῆς μεγαλωσύνης, ἐν τοῖς οὐρανοῖς—Heb. viii. 1.

b Τὰ χρήματα] Stephano placet τῶν χρημάτων, eandémque scripturam dat MS. Bodl. Sed cùm vulgata lectio se non malè habeat, locum suum, me volente, teneat.

c Ἄγαιντο] Vulgò ἄγοιντο, quod cùm convenientem huic loco significationem habere nequeat, merito Stephanus, exemplaris vetusti auctoritate nixus, in ejus locum ἄγαιντο substituit: quam scripturam sequuntur interpretes et res ipsa flagitat.

d Ἐδωρεῖτο] Stephanus legit, διεδωρεῖτο. At receptæ lectioni MS. Bodl. et plerique editi sua dant nomina: eáque sana quidem et sincera prorsùs videtur. Alteri autem illi, à Stephano admissæ, viam, ut opinor, stravit hoc, quod mox sequitur, compositum, διεδίδου.

τοῖς ἀξιωτάτοις· νομίζων, ὅ,τι καλὸν κἀγαθὸν ἔχοι τὸ στράτευμα, τούτοις ἅπασιν αὐτὸς κεκοσμῆσθαι. Ἡνίκα δὲ αὐτοῖς διεδίδου ὧν ἔλαβεν, ἔλεξεν ὧδέ πως εἰς τὸ μέσον τῶν ταξιαρχῶν, καὶ λοχαγῶν, καὶ πάντων οὓς ἐτίμα·

"Ἄνδρες φίλοι, δοκεῖ ἡμῖν εὐφροσύνη τὶς νῦν παρεῖναι, καὶ "ὅτι εὐπορία τὶς προσγεγένηται, καὶ ὅτι ἔχομεν ἀφ' ὧν τιμᾶν "ἔξομεν οὓς ἂν βουλώμεθα, καὶ τιμᾶσθαι ὡς ἂν ἕκαστος ἄξιος ᾖ. "Πάντως δὴ ἀναμιμνησκώμεθα τὰ ποῖα ἄττα ἔργα τούτων "τῶν ἀγαθῶν ἐστὶν αἴτια· σκοπούμενοι γὰρ εὑρήσετε, τό, τε "ἀγρυπνῆσαι, ὅπου ἔδει, καὶ τὸ πονῆσαι, καὶ τὸ σπεῦσαι, καὶ "τὸ μὴ εἶξαι τοῖς πολεμίοις. Οὕτως οὖν χρὴ καὶ τολοιπὸν ἄν-"δρας ἀγαθοὺς εἶναι, γιγνώσκοντας ὅτι τὰς μεγάλας ἡδονὰς "καὶ τὰ ἀγαθὰ τὰ μεγάλα ἡ πειθώ, καὶ ἡ καρτερία, καὶ οἱ "ἐν τῷ καιρῷ πόνοι καὶ κίνδυνοι παρέχονται."

Κατανοῶν δὲ ὁ Κῦρος ὡς εὖ μὲν αὐτῷ εἶχον τὰ σώματα οἱ στρατιῶται πρὸς τὸ δύνασθαι στρατιωτικοὺς πόνους φέρειν, εὖ δὲ τὰς ψυχάς, πρὸς τὸ καταφρονεῖν τῶν πολεμίων, ἐπιστήμονες δὲ ἦσαν τὰ προσήκοντα τῇ ἑαυτῶν ἕκαστος ὁπλίσει, καὶ πρὸς τὸ πείθεσθαι δὲ τοῖς ἄρχουσιν ἑώρα πάντας εὖ παρεσκευασμένους· ἐκ τούτων οὖν ἐπεθύμει τὶ ἤδη τῶν πρὸς τοὺς πολεμίους πράττειν· γιγνώσκων ὅτι ἐν τῷ μέλλειν, πολλάκις τοῖς ἄρχουσι καὶ τῆς καλῆς παρασκευῆς ἀλλοιοῦταί τι· ἔτι δ' ὁρῶν ὅτι φιλοτίμως

qui putaret, quidquid pulchri præclaríque haberet exercitus, id omne sibi ornamento esse. Quando autem ea quæ acceperat iis distribuebat, in hunc ferè modum inter cohortium præfectos, et manipulorum duces, et omnes illos, qui apud ipsum erant in honore, locutus est:

"Lætitia quædam, amici, hoc tempore nobis adesse videtur, tum quòd "rerum *omnium* copia quædam *nobis* accesserit, tum quòd habeamus, "unde eos quos velimus honore afficere poterimus, et eum quisque quo dig-"nus fuerit honorem consequatur. Omninò autem memoriâ nobis retinen-"dum est, cujusmodi studia sunt horum *nobis* commodorum causæ: nam "si cum animis vestris consideritis, hæc *vos*, et vigilando, cùm opus erat, "et laborando, et accelerando, et nihil hosti cedendo, *consequutos* repe-"rietis. Quapropter deinceps quoque viri fortes sitis oportet, statuatisque "obedientiam, et tolerantiam, et laborum, ubi poscit occasio, periculorúm-"que patientiam, magnas voluptates, et commoda ingentia adferre."

Cùm autem Cyrus animadverteret, milites et corporibus ad labores militares perferendos valere, et animis esse ad contemnendum hostem præparatos, peritos etiam eorum esse, quæ abs quoque armaturæ suæ ratio postularet, ac prætereà omnes ad parendum præfectis *suis* paratos esse videret; his utique de causis jam aliquid eorum gerere cupiebat, quæ adversùs hostes suscipi solent: quippe qui intelligeret, in cunctationibus sæpè ducibus usu venire ut apparatus etiam præclari aliquâ ex parte immutati *labefactique* essent: et cum prætereà videret, complures milites, quorum

ἔχοντες ἐν οἷς ἀντηγωνίζοντο πολλοὶ καὶ ἐπιφθόνως εἶχον πρὸς ἀλλήλους τῶν στρατιωτῶν, καὶ τῶνδε ἕνεκα ἐξάγειν αὐτοὺς ἐβούλετο εἰς τὴν πολεμίαν ὡς τάχιστα· εἰδὼς ὅτι οἱ κοινοὶ κίνδυνοι φιλοφρόνως ποιοῦσιν ἔχειν τοὺς συμμάχους πρὸς ἀλλήλους, καὶ οὐκέτι ἐν τούτῳ οὔτε τοῖς ἐν ὅπλοις κοσμουμένοις φθονοῦσιν, οὔτε τοῖς δόξης ἐφιεμένοις, ἀλλὰ μᾶλλον καὶ ἐπαινοῦσι καὶ ἀσπάζονται οἱ τοιοῦτοι τοὺς ὁμοίους· νομίζοντες συνεργοὺς αὐτοὺς τοῦ κοινοῦ ἀγαθοῦ εἶναι. Οὕτω δὴ πρῶτον μὲν ἐξώπλισε τὴν στρατιὰν, καὶ κατέταξεν ὡς ἐδύνατο κάλλιστά τε καὶ ἄριστα· ἔπειτα δὲ συνεκάλεσε μυριάρχους, καὶ χιλιάρχους, καὶ ταξιάρχους, καὶ λοχαγούς· οὗτοι γὰρ ἀπολελυμένοι ἦσαν τοῦ καταλέγεσθαι ἐν τοῖς τακτικοῖς ἀριθμοῖς· καὶ ὁπότε δέοι ἢ ὑπακούειν τῷ στρατηγῷ ἢ παραγγέλλειν τι, οὐδ᾽ ὣς οὐδὲν ἄναρχον κατελείπετο, ἀλλὰ δωδεκαδάρχοις καὶ ἑξαδάρχοις πάντα τὰ καταλειπόμενα διεκοσμεῖτο. Ἐπεὶ δὲ συνῆλθον οἱ [a] ἐπικαίριοι, παράγων αὐτοὺς, ἐπεδείκνυέ τε αὐτοῖς τὰ καλῶς ἔχοντα, καὶ ἐδίδασκεν ᾗ ἕκαστον ἰσχυρὸν ἦν τῶν συμμαχικῶν. Ἐπεὶ δὲ κἀκείνους ἐποίησεν ἐρωτικῶς ἔχειν τοῦ ἤδη ποιεῖν τὶ, εἶπεν αὐτοῖς νῦν μὲν ἀπιέναι ἐπὶ τὰς τάξεις, καὶ διδάσκειν ἕκαστον τοὺς

summa comparebat ambitio in iis de quibus erant inter ipsos certamina, sibi etiam mutuò invidere, et hisce de causis quàm primùm eos in hosticum educere volebat; quippe qui sciret pericula communia efficere ut commilitones mutuâ se benevolentiâ complectantur, quique *adeò* non ampliùs, in eo rerum statu, vel iis quibus ornatissima sunt arma, vel iis qui gloriæ cupidi sunt invident, sed potiùs qui tales sint et collaudant et amanter complectuntur sibi similes, quòd *nimirum* eos secum unà communi utilitati inservire existiment. Primùm igitur exercitum penitùs armavit, quámque poterat pulcherrimè et optimè instruxit: deindè duces decem millium, et tribunos, et cohortium præfectos, et manipulorum ductores convocavit; nam hi nullâ erant necessitate adstricti ut in ordinum militarium numeris recensiti essent: cúmque vel imperatori parendum sit, vel denuntiandum aliquid, nè sic quidem pars ulla rectoris expers relinquebatur, sed reliquæ omnes copiæ per duodenûm et senûm militum præfectos aptè instruebantur. Postquàm verò convenissent ii, quorum præsentiam res ipsa postulabat, eis *præter aciem* deductis et quæ præclarè se haberent ostendebat, et quâ parte valida essent auxilia singula docebat. Cúmque illos etiam gerendi jam aliquid cupidos reddidisset, eos ad præsens quidem ad ordines redire jussit, et suos quemque *milites* edocere, quæ illos ipse *modò docuerat*, om-

a Οἱ ἐπικαίριοι] Vox hæc sic in margine MSti Bodl. est exposita; Οἱ ἐπὶ τῶν κεράτων τὰς παρατάξεις καταρτιζόμενοι. At mihi quidem videtur non munus aliquod militare respicere; sed illos omnes denotare, secundùm Æmil. Porti interpretationem, *quorum præsentiam res postularet: quique adeò parati essent ad aliquid opportunè peragendum.* In sequentibus quidem sæpiùs occurrit, atque hoc ferè modo ubique debet intelligi.

ἐπιθυμοίη ὥσπερ αὐτὸς ἐκεῖνος, καὶ πειρᾶσθαι αὐτοὺς ἐπιθυμίαν ἐμβαλεῖν πᾶσι τοῦ στρατεύεσθαι, ὅπως εὐθυμότατα πάντες ἐξορμῷντο, πρωῒ δὲ παρεῖναι ἐπὶ τὰς Κυαξάρου θύρας. Τότε μὲν δὴ ἀπιόντες οὕτως ἐποίουν· τῇ δ' ὑστεραίᾳ ἅμα τῇ ἡμέρᾳ παρῆσαν οἱ ἐπικαίριοι ἐπὶ τὰς θύρας. Σὺν τούτοις οὖν ὁ Κῦρος εἰσελθὼν πρὸς τὸν Κυαξάρην, ἤρξατο λόγου τοιοῦδε·

"Οἶδα μὲν, ἔφη, ὦ Κυαξάρη, ὅτι ἃ μέλλω λέγειν, σοὶ "πάλαι δοκεῖ οὐδὲν ἧττον ἢ ἡμῖν· ἀλλ' ἴσως αἰσχύνῃ λέγειν "ταῦτα, μὴ δοκῇς, ἀχθόμενος ὅτι τρέφεις ἡμᾶς, ἐξόδου μεμ"νῆσθαι. Ἐπεὶ οὖν σὺ σιωπᾷς, ἐγὼ λέξω ὑπὲρ σοῦ καὶ ὑπὲρ "ἡμῶν. Ἡμῖν γὰρ δοκεῖ πᾶσιν, ἐπείπερ παρεσκευάσμεθα, "μὴ ἐπειδὰν ἐμβάλλωσιν οἱ πολέμιοι εἰς τὴν σὴν χώραν, τότε "μάχεσθαι, μηδ' ἐν τῇ φιλίᾳ καθημένους ἡμᾶς ὑπομένειν, ἀλλ' "ἰέναι ὡς τάχιστα εἰς τὴν πολεμίαν. Νῦν μὲν γὰρ ἐν τῇ σῇ "χώρᾳ ὄντες, πολλὰ τῶν σῶν σινόμεθα ἄκοντες· ἢν δ' εἰς τὴν "πολεμίαν ἴωμεν, τὰ ἐκείνων κακῶς ποιήσομεν ἡδόμενοι. "Ἔπειτα νῦν μὲν σὺ ἡμᾶς τρέφεις, πολλὰ δαπανῶν· ἢν δ' "ἐκστρατευώμεθα, θρεψόμεθα ἐκ τῆς πολεμίας. Ἔτι δὲ εἰ "μὲν μείζων τις ἡμῖν κίνδυνος ἔμελλεν εἶναι ἐκεῖ ἢ ἐνθάδε, "ἴσως τὸ ἀσφαλέστατον ἦν ἂν αἱρετέον. Νῦν δὲ ἴσοι μὲν ἐκεῖ"νοι ἔσονται, [a] ἐάν τε ἐνθάδε ὑπομένωμεν, ἐάν τε εἰς τὴν ἐκεί-

nibusque militiæ cupiditatem injicere conari, ut alacri maximè animo egrederentur omnes, ac manè Cyaxaris ad portas adesse. Et tunc quidem abeuntes ità fecerunt: postridiè autem primâ luce ii, quibus opportunè rerum agendarum cura committi possit, ad portam aderant. Itaque cum iis ingressus ad Cyaxarem Cyrus, hujusmodi orationem exorsus est:

"Scio quidem ea, Cyaxares, quæ dicturus sum, jampridem tibi non "minùs quàm nobis videri: sed fortassis hæc te proferre pudet, nè videa"ris *ideò* mentionem profectionis facere, quòd graviter feras te nos alere. "Quando tu igitur taces, ego tam tuo quàm nostro nomine rem exponam. "Nobis nimirum omnibus videtur, cùm parati simus, non tunc *demum* pug"nandum esse, cùm hostes in regionem tuam irrumpant, neque *illos* nobis "in amicorum agro sedentibus expectandos esse, sed in hosticum quàm "primùm eundum esse. Cùm enim in tuâ nunc simus regione, multis "rebus tuis detrimentum inferimus inviti; at si hostilem in agrum proficis"camur, rebus illorum cum voluptate incommodabimus. Prætereà tu nunc "quidem, magno tuo sumptu, nos alis: sin autem *tuos extra fines* exerci"tum educamus, ex hostili agro victus nobis erit. Jam verò si majus ali"quod nobis istic periculum, quàm hìc, immineret, fortassis id, quod tutis"simum, eligendum esset. Nunc autem et illi futuri sunt iidem, sive *adeò*

[a] Ἐάν τε ἐνθάδε, &c.] Ità ex MSto Bodl. locum hanc restituimus. In vulgatis legitur, *ἐάν τε ἐνθάδε ἐπιόντες αὐτοῖς μαχώμεθα, ἐάν τε εἰς ἐκείνην ἰόντες ὑπαντῶμεν αὐτοῖς· ἴσοι δὲ ἡμεῖς ὄντες μαχόμεθα, ἤν τε ἐνθάδε ἐρχομένους αὐτοὺς*, &c. Eam autem, quam damus, lectionem, laudat Stephanus, exprimitque in vertendo loco Leunclavius.

U

" νων ἰόντες ὑπαντῶμεν αὐτοῖς· ἴσοι δὲ ἡμεῖς ὄντες μαχέμεθα,
" ἤν τε ἐνθάδε ἐπιόντας αὐτὲς δεχώμεθα, ἤν τε ἐπ' ἐκείνες
" ἰόντες τὴν μάχην συνάπτωμεν. Πολὺ μέντοι ἡμεῖς βελτί-
" οσι καὶ ἐῤῥωμενεςέραις ταῖς ψυχαῖς τῶν ςρατιωτῶν χρησό-
" μεθα, ἢν ἴωμεν ἐπὶ τοὺς ἐχθροὺς, καὶ μὴ ἄκοντες δοκῶμεν
" ὁρᾷν τὲς πολεμίες· πολὺ δὲ κἀκεῖνοι μᾶλλον ἡμᾶς φοϐηθή-
" σονται, ὅταν ἀκούσωσιν ὅτι οὐχ ὡς φοϐούμενοι πτήσσομεν
" αὐτοὺς οἴκοι καθήμενοι, ἀλλ' ἐπεὶ αἰσθανόμεθα προσιόντας,
" ἀπαντῶμέν τε αὐτοῖς ἵν' ὡς τάχιςα συμμίξωμεν, καὶ οὐκ
" ἀναμένομεν ἕως ἂν ἡ ἡμετέρα χώρα κακῶται, ἀλλὰ φθά-
" νοντες ἤδη δηϋμεν τὴν ἐκείνων γῆν. Καίτοι, ἔφη, εἴ τι ἐκεί-
" νες μὲν φοϐερωτέρες ποιήσομεν, ἡμᾶς δὲ αὐτὲς θαῤῥαλεω-
" τέρες, πολὺ τῦτο ἡμῖν ἐγὼ πλεονέκτημα νομίζω· καὶ τὸν
" κίνδυνον οὕτως ἡμῖν μὲν ἐλάττω λογίζομαι, τοῖς δὲ πολε-
" μίοις μείζω, πολὺ ἂν μᾶλλον. Καὶ ὁ πατὴρ αἰεὶ λέγει,
" καὶ σὺ φὴς, καὶ οἱ ἄλλοι δὲ πάντες ὁμολογῦσιν, ὡς αἱ μά-
" χαι κρίνονται μᾶλλον ταῖς ψυχαῖς ἢ ταῖς τῶν σωμάτων
" ῥώμαις." Ὁ μὲν ὅτως εἶπε· Κυαξάρης δὲ ἀπεκρίνατο,

Ἀλλ' ὅπως μὲν, ὦ Κῦρε, καὶ οἱ ἄλλοι Πέρσαι, ἐγὼ ἄχθομαι τρέφων ὑμᾶς, μηδ' ὑπονοεῖτε· τό γε μέντοι ἰέναι εἰς τὴν πολεμίαν, ἤδη καὶ ἐμοὶ βέλτιον εἶναι δοκεῖ πρὸς πάντα. Ἐπεὶ τοίνυν, ἔφη ὁ Κῦρος, ὁμογνωμονῦμεν, συσκευαζώμεθα, καὶ ἢν τὰ τῶν θεῶν ἡμῖν θᾶττον συγκαταινῇ, ἐξίωμεν ὡς τάχιςα.

" hìc *eos* expectemus, seu in illorum regionem progressi obviam eis eamus;
" et nos iidem pugnam inituri sumus, sive hìc eos cùm nosmet invaserint
" excipiamus, seu adversùs eos profecti pugnam conseramus. Verùm nos
" militum animos alacriores multò et firmiores experiemur, si adversùs eos
" qui infenso veniunt animo contendamus, et in conspectum hostium non
" inviti venire videamur: illi itidem multò nos magìs metuent, cùm nos au-
" dient non ut formidolosos eorum metu percelli ac domi desidere, sed
" adventu *hostium* comperto, iis occurrere, ut quàm celerrimè pugnam con-
" seramus, et non opperiri dum regio nostra infestetur, sed terram eorum
" antevertendo jam populari. Atqui si illos, inquit, aliquantùm formido-
" losiores, et nos ipsos audentiores reddiderimus, magnam id ego nobis *sin-*
" *gularemque* commoditatem *adlaturum* existimo; atque hoc equidem
" modo nobis minus, hostibus plus periculi, multò magìs *futurum* statuo.
" Pater quoque *meus* semper dicit, et tu ais, cæteríque *adeò* omnes consen-
" tiunt, de præliis judicium fieri potiùs ex animis quàm corporum viribus."
Ille quidem hanc orationem habuit: Cyaxares autem respondit,

Tu verò, Cyre, cæteríque *vos* Persæ, vos alere mihi grave esse nè suspicemini quidem: sed in hostilem tamen agrum ut progrediamur jam mihi quoque ad omnia melius esse videtur. Quando igitur, ait Cyrus, in eâdem sumus sententiâ, vasa colligamus, et si res divinæ nobis confestim adnue-

Ἐκ τούτου τοῖς μὲν στρατιώταις εἰπὼν συσκευάζεσθαι ὁ Κῦρος, ἔθυε, πρῶτον μὲν Διῒ βασιλεῖ, ἔπειτα δὲ καὶ τοῖς ἄλλοις θεοῖς· καὶ ᾐτεῖτο ἵλεως καὶ εὐμενεῖς ὄντας, ἡγεμόνας γίνεσθαι τῇ στρατιᾷ, καὶ παραστάτας ἀγαθοὺς, καὶ συμμάχους, καὶ συμβούλους τῶν ἀγαθῶν. Συμπαρεκάλει δὲ καὶ ἥρωας γῆς Μηδίας οἰκήτορας καὶ κηδεμόνας. Ἐπεὶ δ' ἐκαλλιέρησέ τε καὶ ἀθρόον ἦν αὐτῷ τὸ στράτευμα πρὸς τοῖς ὁρίοις, τότε δὴ οἰωνοῖς χρησάμενος αἰσίοις, [a] ἐνέβαλεν εἰς τὴν πολεμίαν. Ἐπεὶ δὲ τάχιστα διέβη τὰ ὅρια, ἐκεῖ αὖ καὶ Γῆν ἱλάσκετο χοαῖς, καὶ θεοὺς θυσίαις, καὶ ἥρωας Ἀσσυρίας οἰκήτορας εὐμενίζετο. Ταῦτα δὴ ποιήσας, αὖθις Διῒ πατρῴῳ ἔθυε, καὶ εἴ τις ἄλλος θεῶν ἐφαίνετο, οὐδενὸς ἠμέλει.

Ἐπεὶ δὲ ταῦτα καλῶς εἶχεν, εὐθὺς τοὺς μὲν πεζοὺς προαγαγόντες οὐ πολλὴν ὁδὸν, ἐστρατοπεδεύσαντο· τοῖς δ' ἵπποις καταδρομὴν ποιήσαντες, περιεβάλοντο πολλὴν καὶ παντοίαν λείαν. Καὶ τολοιπὸν δε μεταστρατοπεδευόμενοι, καὶ ἔχοντες ἄφθονα τὰ ἐπιτήδεια, καὶ δῃοῦντες τὴν χώραν, ἀνέμενον τοὺς πολεμίους. Ἡνίκα δὲ προσιόντες ἐλέγοντο οὐκέτι δέχ' ἡμερῶν ἀπέχειν ὁδὸν, τότε δὴ ὁ Κῦρος λέγει, Ὦ Κυαξάρη, ὥρα δὴ ἀπαντᾷν, καὶ μήτε τοῖς πολεμίοις δοκεῖν, μήτε τοῖς ἡμετέροις, φοβουμένους μὴ ἀντιπροσιέναι· ἀλλὰ δῆλοι ὦμεν ὅτι οὐκ ἄκοντες μαχού-

rint, quàm primùm egrediamur. Secundùm hæc cùm militibus edixisset Cyrus ut vasa colligerent, rem sacram Jovi primùm regi, deinde diis cæteris etiam fecit: petebat etiam ut propitii benignique *essent*, et exercitui duces bonique adjutores et socii in re gerendâ, atque utilium consultores *sibi* adessent. Quin etiam heroas Medorum terræ incolas et curatores simul invocabat. Cùm autem sacra secunda fecisset, et simul omnis ad fines adesset exercitus, tum sanè bonis usus avibus hostile solum invasit. Et cùm primùm fines transiisset, illic rursùs Tellurem etiam libationibus *sibi* propitiam reddidit, et deos atque heroas Assyriæ incolas sacrificiis placavit. His peractis, rursùm Jovi patrio rem divinam fecit, nec, si quis alius se deorum offerret, ullum neglexit.

"ταξίαρχον Χρυσάνταν οὐδὲν παρ' ἄλλων δέομαι πυνθάνεσθαι, "ἀλλ' αὐτὸς οἶδα οἷος ἦν· τὰ μὲν γὰρ ἄλλα, ὅσαπερ οἶμαι "καὶ ὑμεῖς πάντες, ἐποίει· ἐπεὶ δ' ἐγὼ παρηγγύησα ἐπανάγειν, "καλέσας ὀνομαστὶ αὐτὸν, ἀνατεταμένος οὗτος τὴν μάχαιραν, "ὡς παίσων πολέμιον, ὑπήκουσέ τε μοι εὐθὺς, καὶ ἀφεὶς ὃ "ἔμελλε ποιεῖν, τὸ κελευόμενον ἔπραττεν· αὐτός τε γὰρ ἐπα-"νήγαγε, καὶ τοῖς ἄλλοις μάλα ἐπισπερχῶς παρηγγύα· ὥς' "ἔφθασεν ἔξω βελῶν τὴν τάξιν ποιήσας πρὶν τοὺς πολεμίους "κατανοῆσαί τε ὅτι ἀναχωροῦμεν, καὶ τόξα ἐντείνασθαι, καὶ "τὰ παλτὰ ἐπαφεῖναι· ὥς' αὐτός τε ἀβλαβὴς, καὶ τοὺς ἑαυτοῦ "ἄνδρας ἀβλαβεῖς διὰ τὸ πείθεσθαι παρέχεται. Ἄλλους δ', "ἔφη, ὁρῶ τετρωμένους, περὶ ὧν ἐγὼ σκεψάμενος ἐν ὁποίῳ χρό-"νῳ ἐτρώθησαν, τότε τὴν γνώμην περὶ αὐτῶν ἀποφανοῦμαι. "Χρυσάνταν δὲ, καὶ ἐργάτην τῶν πολεμικῶν, καὶ φρόνιμον, "καὶ ἄρχεσθαι ἱκανὸν καὶ ἄρχειν, χιλιαρχίᾳ μὲν ἤδη τιμῶ· "ὅταν δὲ καὶ ἄλλο τι ἀγαθὸν ὁ Θεὸς δῷ, οὐδὲ τότε ἐπιλήσομαι "αὐτοῦ· Καὶ πάντας δὲ ὑμᾶς βούλομαι, ἔφη, ὑπομνῆσαι· ἃ "γὰρ νῦν εἴδετε ἐν τῇ μάχῃ τῇδε, ταῦτα ἐνθυμούμενοι μήποτε "τε παύσησθε, ἵνα παρ' ὑμῖν αὐτοῖς αἰεὶ κρίνητε, πότερον ἡ "ἀρετὴ μᾶλλον ἢ ἡ φυγὴ σώζει τὰς ψυχὰς, καὶ πότερον οἱ "μάχεσθαι θέλοντες, ῥᾷον ἀπαλλάττουσιν ἢ οἱ οὐκ ἐθέλοντες, "καὶ ποίαν τινὰ ἡδονὴν τὸ νικᾶν παρέχει· ταῦτα γὰρ νῦν ἄριςα

"retribuere. De Chrysantâ verò cohortis præfecto mihi proximo percontari "alios non necesse habeo, cùm ipse nôrim qualem se præbuit. Nam alia "quidem quæcunque vos etiam omnes *fecisse* arbitror, præstitit: et cùm "ego pedem referre jussi, compellato nominatim ipso, etsi gladium sus-"tulerat ille, ut percussurus hostem, statim *tamen* mihi paruit, eóque omisso "quod facturus erat, ut jusseram fecit: nam et ipse *suos* abduxit, et aliis "*idem faciendum* studiosè admodùm significavit: adeò ut priùs extra teli "jactum cohortem collocaret, quàm hostes animadverterent, nos pedem "referre, quámque arcus tenderent, et palta in nos ejacularentur: *unde fit* "ut et ipse illæsus sit, et milites suos per obedientiam incolumes præstet. "Alios autem *quosdam*, inquit, vulneratos video, de quibus, ubi considera-"vero quo tempore vulnera acceperint, tum *demum* sententiam *meam* "aperiam. Chrysantam verò, et in rebus bellicis strenuum, et prudentem, "et ad accipiendum imperium et imperandum idoneum, in præsentiâ qui-"dem honore tribunatûs adficio; et cùm Deus aliquid etiam aliud boni lar-"gietur, nè tunc quidem ejus obliviscar. Quin vos etiam universos, ait, "admonitos volo: nam quæ modò in hâc pugnâ vidistis, ea vobis in animis "vestris nunquam non cogitanda sunt, ut ipsi semper statuatis, utrùm virtus "an fuga vitam magis conservet, et utrùm ii qui pugnare volunt, faciliùs se "*pugnæ* discrimine defunctos præstent, an illi qui *pugnare* nolunt, et "cujusmodi voluptatem adferat victoria: de his enim optimè jam statuere

"κρίναιτ' ἂν, πεῖράν τε αὐτῶν ἔχοντες, καὶ ἄρτι γεγενημένου "τοῦ πράγματος. Καὶ ταῦτα μὲν, ἔφη, αἰεὶ διανοούμενοι, βελ-"τίους ἂν εἴητε· νῦν δὲ, ὡς καὶ θεοφιλεῖς, καὶ ἀγαθοὶ, καὶ σώ-"φρονες ἄνδρες, δειπνοποιεῖσθε, καὶ σπονδὰς τοῖς θεοῖς ποιεῖσθε, "καὶ παιᾶνα ἐξάρχετε, καὶ ἅμα τὸ παραγγελλόμενον προ-"νοεῖτε."

Εἰπὼν ταῦτα, ἀναβὰς ἐπὶ τὸν ἵππον ἤλασε· καὶ πρὸς Κυαξάρην ἐλθὼν, καὶ συνησθεὶς ἐκείνῳ κοινῇ, ὡς εἰκὸς, καὶ ἰδὼν τἀκεῖ καὶ ἐρόμενος εἴ τι δέοιτο, ἀπήλαυνεν εἰς τὸ ἑαυτοῦ στράτευμα. Καὶ οἱ μὲν δὴ ἀμφὶ Κῦρον δειπνοποιησάμενοι, καὶ φυλακὰς καταστησάμενοι ὡς ἔδει, ἐκοιμήθησαν. Οἱ δὲ Ἀσσύριοι, ἅτε [a] τεθνηκότος τοῦ ἄρχοντος, καὶ σχεδὸν σὺν αὐτῷ τῶν βελτίστων, ἠθύμουν μὲν πάντες, πολλοὶ δὲ καὶ ἀπεδίδρασκον αὐτῶν τῆς νυκτὸς ἐκ τοῦ στρατοπέδου. Ὁρῶντες δὲ ταῦτα ὅ,τε Κροῖσος καὶ οἱ ἄλλοι σύμμαχοι [b] αὐτῶν, ἠθύμουν· πάντα μὲν γὰρ ἦν χαλεπά· ἀθυμίαν δὲ πᾶσι πλείστην παρεῖχεν ὅτι τὸ ἡγούμενον φῦλον τῆς στρατιᾶς διεφθάρθαι ἐδόκει ταῖς γνώμαις· οὕτω δὴ ἐκλείπουσι τὸ στρατόπεδον, καὶ ἀπέρχονται νυκτός. Ὡς δ' ἡμέρα ἐγένετο, καὶ ἔρημον ἀνδρῶν ἐφάνη τὸ τῶν πολεμίων στρατόπεδον,

"possitis, cùm et periculum vosmet ipsi feceritis, et res *ipsa* recens gesta "sit. Atque hæc si usque animo versetis, ait, meliores evasuri estis: nunc, "ut Deo cari, et fortes, et prudentes viri, cœnam instruite, diis libate, pæa-"na præcinite, simul *ut fiat* id quod denuntiatum est providete."

Hæc cùm dixisset, equo conscenso provectus est; atque ubi ad Cyaxarem venisset, et cum eo communem *ex gratulatione mutuâ*, ceu par erat, voluptatem cepisset, quæque gererentur ibi vidisset, ac num aliquâ ipsi re opus esset rogâsset, suum ad exercitum revectus est. Et Cyri quidem milites posteaquam cœnati essent et excubias locâssent, utì conveniebat, quieti se dederunt. Assyrii verò, quorum nimirum et princeps, et cum eo ferè fortissimus quisque occubuerat, universi animis concidebant, multi etiam eorum ex castris noctu diffugiebant. Hæc autem cùm Crœsus cæterique eorum socii viderint, animis deficiebant: nam erant omnia quidem dira: maximum verò mærorem omnibus præbebat, quod ea natio, quæ in exercitu principatum teneret, penè alienatâ esse mente videbatur: itaque castra deserunt, et noctu discedunt. Ubi verò illuxisset, et castra hostium à militibus vacua cernerentur, mox Cyrus Persas primos *eò* traducit: ab hosti-

a Καὶ τεθνηκότος τοῦ ἄρχοντος, καὶ, &c.] Scil. *Neriglissorus*, qui jam quatuor annos regnaverat. Similem autem Persarum stragem Curtius eâ, quâ solet, elegantiâ describit, *lib.* 3. *c.* 11. "Circa currum Darii "jacebant nobilissimi duces, ante oculos "regis egregiâ morte defuncti, omnes, &c." Cladem verò Assyriorum, et Crœsi fœderatorúmque fugam verbis penè Xenophontéis exposuit Zonaras, T. 1. *lib.* 3. p. 150, et seq.

b Αὐτῶν, ἠθύμουν] Editi plerique dant αὐτῶν πάντες, ἠθύμουν. Sed, MS. Bodl. edit. *Ald.* et *Argentor.* et Philelphus illud πάντες non agnoscunt: ideóque nec ipsi admisimus; Stephanus quidem et Leunclavius ad id olim, tanquam importunè immissum, notam apposuerunt.

εὐθὺς διαβιβάζει ὁ Κῦρος τοὺς Πέρσας πρώτους· καταλέλειπτο δὲ ὑπὸ τῶν πολεμίων πολλὰ μὲν πρόβατα, πολλοὶ δὲ βόες, πολλαὶ δὲ ἅμαξαι πολλῶν ἀγαθῶν μεσταί· ἐκ δὲ τούτου διέβαινον ἤδη καὶ οἱ ἀμφὶ Κυαξάρην Μῆδοι πάντες, καὶ ἠριστοποιοῦντο ἐνταῦθα. Ἐπεὶ δὲ ἠρίστησαν, συνεκάλεσεν ὁ Κῦρος τοὺς ἑαυτοῦ ταξιάρχους, καὶ ἔλεξε τοιαῦτα· Οἷά μοι δοκοῦμεν καὶ ὅσα ἀγαθά, ὦ ἄνδρες, ἀφεῖναι, θεῶν ἡμῖν ταῦτα διδόντων. Νῦν γὰρ ὅτι μὲν οἱ πολέμιοι φοβούμενοι ἡμᾶς ἀποδεδράκασιν, αὐτοὶ ὁρᾶτε· οἵτινες δὲ ἐν ἐρύματι ὄντες ἐκλιπόντες τοῦτο φεύγουσι, πῶς τούτους οἴεται ἄν τις μεῖναι ἰδόντας ἡμᾶς ἐν τῷ ἰσοπέδῳ; Οἵτινες δὲ ἄπειροι ἡμῶν ὄντες οὐχ ὑπέμειναν, [a] πῶς νῦν γ' ἂν ὑπομείνοιεν, ἐπεὶ ἥττηνται, καὶ πολλὰ κακὰ ὑφ' ἡμῶν πεπόνθασιν; Ὧν δὲ οἱ [b] βέλτιστοι ἀπολώλασι, πῶς οἱ [c] φαυλότεροι ἐκείνων μάχεσθαι ἂν ἡμῖν ἐθέλοιεν; Καί τις εἶπε, Τί οὖν οὐ διώκομεν ὡς τάχιστα,

bus autem multæ oves, bovésque multi, multa etiam bonis multis referta plaustra relicta erant: deinde Medi quoque qui erant cum Cyaxare jam *in ea* transierunt omnes, ibíque prandium parârunt. Cùm autem pransi essent, Cyrus suos cohortium præfectos convocavit, et in hunc modum loquutus est: Qualia, viri, quantáque bona, divinitùs nobis oblata, dimittere videmur? Jam enim videtis ipsi, metu nostrî permotos hostes in fugam se conjecisse; qui autem munitionibus, in quibus erant, desertis fugam capiunt, hos quonam modo possit exstimare quisquam substituros, ubi nos in planitie viderint? Qui *nos item* minimè sustinuerunt, cùm nec dum experti nos essent, quo pacto nunc sustinebunt, cùm et victi, et multis à nobis incommodis adfecti sunt? Et quorum fortissimi *quique* occiderunt, quomodo illorum vilissimi nobiscum pugnare velint? Et *hic* quidam, Cur igitur non quàm cellerrimè,inquit, *eos* persequimur, cùm *tanta* nobis bona manifestè adeò offerantur? Respondit ille, Quoniam equis adhuc nobis opus est:

a *Πῶς νῦν*, &c.] Infelici quippe prælio militum terreri animos; cùm multiplex Historicorum testimonium, tum præcipuè finis orationis Phormionéæ docet: *Ἀναμιμνήσκω δ' αὖ ὑμᾶς, ὅτι νενικήκατε αὐτῶν τοὺς πολλούς· ἡσσημένων δὲ ἀνδρῶν οὐκ ἐθέλουσιν αἱ γνῶμαι πρὸς τοὺς αὐτοὺς κινδύνους ὁμοῖαι εἶναι.* Thucyd. lib. 2. p. 138. edit. Oxon.

b Οἱ *βέλτιστοι ἀπολώλασι*] Pro lugubri scilicet eo belli eventu, quem bini his versibus expressêre Tragici:

—πόλεμος οὐδέν' ἄνδρ' ἑκὼν
Αἱρεῖ πονηρόν, ἀλλὰ τοὺς χρηστοὺς ἀεί.

Sophoc. in Philoct. p. 401. *edit. H. Steph.* 4to.

Φιλεῖ τοι πόλεμος, οὐ πάντ' εὐτυχεῖν.
Ἐσθλῶν δὲ χαίρει πτώμασιν νεανίσκων. Euripides, citante Stobæo.

c *Φαυλότεροι*] Superlativi gradûs vicem hìc supplet comparativus, ut apud Matt. xi. 11. *ὁ δὲ μικρότερος ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν*, &c. et, xviii. 1. *Τίς ἄρα μείζων ἐστὶν ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν*: et 1 Cor. xiii. 13. Me quidem minimè fugit, *πονηρότατοι* in hoc loco Xenophontéo, et *Φαυλότατοι* à Leunclavio aliísque laudari. Sed, lectionem à nobis receptam non temerè solicitandam putamus, cùm eam MS. Bodl. et editi melioris notæ omnes præstent, et eandem *graduum* permutationem alibi reperiamus. Dictis fidem faciat Poëta Teius:

Χαλεπὸν τὸ μὴ φιλῆσαι,
Χαλεπὸν δὲ καὶ φιλῆσαι·
Χαλεπώτερον δὲ πάντων
Ἀποτυγχάνειν φιλοῦντα· Ode 46.

Et de hâc quidem *graduum* mutatione lectores etiam monent Grammatici.

καταδήλων γε οὕτω τῶν ἀγαθῶν ὄντων; Καὶ ὃς εἶπεν, Ὅτι ἵππων προςδεόμεθα· οἱ μὲν γὰρ κράτιστοι τῶν πολεμίων, οὓς μάλιστα καιρὸς ἦν ἢ λαβεῖν ἢ ἀποκτεῖναι, οὗτοι ἐφ' ἵππων [c]νέονται· οὓς ἡμεῖς τρέπεσθαι μὲν σὺν θεοῖς ἱκανοὶ, διώκοντες δὲ αἱρεῖν οὐχ ἱκανοί. Τί οὖν, ἔφασαν, οὐκ ἐλθὼν Κυαξάρει ταῦτα λέγεις; Καὶ ὃς εἶπε, Συνέπεσθε τοίνυν μοι πάντες, ὡς εἰδῇ ὅτι πᾶσιν ὑμῖν ταῦτα δοκεῖ. Ἐκ τούτου εἵποντό τε πάντες, καὶ ἔλεγον οἷα ἐπιτήδεια ἐδόκουν εἶναι ὑπὲρ ὧν ἐδέοντο.

Καὶ ὁ Κυαξάρης ἅμα μὲν, ὅτι ἐκεῖνοι ἦρχοντο τοῦ λόγου, ὥσπερ ὑπεφθόνει· ἅμα δὲ ἴσως καλῶς ἐδόκει ἔχειν αὐτῷ μὴ πάλιν κινδυνεύειν· (καὶ γὰρ αὐτός τε περὶ εὐθυμίαν ἐτύγχανεν ὢν, καὶ τῶν ἄλλων Μήδων ἑώρα πολλοὺς τὸ αὐτὸ τοῦτο ποιοῦντας) εἶπε δ' οὖν ὧδε, "Ἀλλ', ὦ Κῦρε, ὅτι μὲν
"μάλιστα ἀνθρώπων μελετᾶτε ὑμεῖς οἱ Πέρσαι πρὸς μηδεμίαν
"ἡδονὴν ἀπλήστως διακεῖσθαι, καὶ ὁρῶν καὶ ἀκούων οἶδα· ἐμοὶ δὲ
"δοκεῖ τῆς μεγίστης ἡδονῆς πολὺ μᾶλλον συμφέρειν ἐγκρατῆ
"εἶναι. Μείζω δὲ ἡδονὴν τί παρέχει ἀνθρώποις εὐτυχίας, ἢ
"νῦν ἡμῖν παραγεγένηται; Ἢν μὲν τοίνυν, ἐπεὶ εὐτυχοῦμεν,
"σωφρόνως διαφυλάττωμεν αὐτὴν, ἴσως δυναίμεθ' ἂν ἀκινδύνως
"εὐδαιμονοῦντες γηρᾷν· εἰ δ' ἀπλήστως χρώμενοι ταύτῃ, ἄλλην

hostium enim qui præstantissimi sunt, quos nobis commodum maximè esset vel capere vel occidere, *domum* equis vecti redeunt: quos deorum ope nos in fugam quidem vertere potuimus, at non *sumus* ad eos persequendo capiendos idonei. Cur igitur, inquiunt, non Cyaxarem accedis, atque hæc ipsi exponis? Et ille, Vos ergò, ait, omnes unà me sequimini, ut omnibus nobis hæc placere videat. Tum verò universi *Cyrum* sequebantur, et quæ viderentur ad rem, quam postulabant, adcommodata dicebant.

Et Cyaxares, partim quòd illi *hâc de re* sermonem primi injecissent *iis* quasi subinvidebat; partim, rectè se fortasse facturum existimabat, si rursùm periculum non adiret: (nam et ipse hilaritati se tunc dedebat, et de cæteris Medis complures hoc ipsum facere videbat) itaque in hunc modum respondit, "Enimverò, Cyre, vos Persas *omnium* hominum maximè id
"operam dare, ut insatiabili nullius voluptatis cupiditate teneamini et oculis
"et auditu compertum habui: mihi verò multò magìs expedire videtur,
"maximâ continenter frui voluptate. Quid autem voluptatem hominibus
"majorem adfert, quàm prospera fortuna, quæ *quidem* hoc tempore nobis
"obtigit? Si ergò, cùm prosperâ utamur fortunâ, prudenter eam conserve-
"mus, in vitâ fortassè beatâ sine periculis senescere possimus: sin hâc

c Νέονται] Vulgò, ἐφ' ἱππωνἔσονται. Nos Leunclavii Stephanique fidem secuti sumus, qui, ἔσονται illo ad marginem rejecto, reposuerunt ἐφ' ἵππων νέονται, sicut Leunclavio auctore, in vetustis libris legitur. Atque hoc verbo ποιητικωτέρῳ usum esse Xenophontem, mirabitur nemo, ut rectè observat Leunclavius, qui ejus lectioni familiariter adsueverit. In primis enim Homerica, de quorum numero etiam hoc est, ab eo usurpari solent.

“καὶ ἄλλην πειρασόμεθα διώκειν, ὁρᾶτε μὴ πάθωμεν ἅπερ
“πολλοὺς μὲν λέγουσιν ἐν θαλάττῃ πεπονθέναι, διὰ τὸ εὐτυ-
“χεῖν οὐκ ἐθέλοντας παύεσθαι πλέοντας ἕως ἂν ἀπόλωνται·
“πολλοὺς δὲ νίκης τυχόντας, ἑτέρας ἐφιεμένους, καὶ τὴν πρόσ-
“θεν ἀποβαλεῖν. Καὶ γὰρ εἰ μὲν οἱ πολέμιοι ἥττους ὄντες
“ἡμῶν ἔφευγον, ἴσως ἂν καὶ διώκειν τοὺς ἥττους ἀσφαλῶς εἶχε·
“νῦν δὲ κατανόησον πόσῳ αὐτῶν μέρει πάντες μαχεσάμενοι
“νενικήκαμεν· οἱ δ' ἄλλοι ἄμαχοι εἰσίν· οὓς εἰ μὲν μὴ ἀναγ-
“κάσοιμεν μάχεσθαι, ἀγνοοῦντες καὶ ἡμᾶς καὶ ἑαυτούς, δι'
“ἀμαθίαν καὶ μαλακίαν ἄπιασιν· εἰ δὲ γνώσονται ὅτι
“καὶ ἀπιόντες οὐδὲν ἧττον κινδυνεύουσιν ἢ μένοντες, [a]ὅπως
“μὴ ἀναγκάσωμεν αὐτούς, καὶ εἰ μὴ βούλονται, ἀγαθοὺς
“γενέσθαι. Ἴσθι γὰρ ὅτι οὐ σὺ μᾶλλον τὰς ἐκείνων γυναῖκας
“καὶ παῖδας ἐπιθυμεῖς λαβεῖν, ἢ ἐκεῖνοι σῶσαι. Ἐννόει δ' ὅτι
“καὶ [b]αἱ σύες ἐπειδὰν ὀφθῶσι, φεύγουσι καὶ πολλαὶ οὖσαι
“σὺν τοῖς τέκνοις· ἐπειδὰν δέ τις αὐτῶν θηρᾷ τι τῶν τέκνων,
“οὐκέτι φεύγει, οὐδ' ἢν μία τύχῃ οὖσα, ἀλλ' ἵεται ἐπὶ τὸν
“λαμβάνειν πειρώμενον. Καὶ νῦν μὲν ἐπικατακλείσαντες
“ἑαυτοὺς εἰς ἔρυμα, παρέσχον ἡμῖν ταμιεύεσθαι, ὥστε ὁπόσοις
“ἐβουλόμεθα αὐτῶν μάχεσθαι· εἰ δ' ἐν εὐρυχωρίᾳ πρόσιμεν

“minimè satiati, aliam ex aliâ persequi conabimur, videte, nè idem nobis
“accidat, quod accidisse multis in mari dicitur, ut, propterea quòd bonâ usi
“sint fortunâ, finem navigandi facere nollent, donec *naufragio* interirent;
“itidemque multis, qui victoriam adepti, dum alteram expeterent, priorem
“etiam amiserunt. Nam si hostes, pauciores cùm nobis essent, in fugam
“se dederunt, fortassè et persequi pauciores tutum esset; nunc verò consi-
“deres *velim*, cum quantulâ ipsorum parte *nos* omnes congressi vicerimus;
“cæteri autem pugnâ abstinebant: quos si ut pugnent non cogemus, et
“nostrûm et sui ipsorum ignari, propter imperitiam et animi molitiam dis-
“cedent: sin animadvertent, nihilo se minùs in periculo fore si abeant,
“quàm si resistant, *vide*, nè cogamus eos ut etiam præter animi sententiam
“fortiter se gerant. Nam scire debes, non magis illorum uxores ac libe-
“ros capiendi te cupidum esse, quàm illi servandi sint *cupidi*. Etiam sues
“cogita, posteaquam conspectæ sunt, cum prole *suâ* fugere, tametsi multæ
“numero sint: cùm verò quis de pullis earum venetur aliquem, non *jam*
“ampliùs, nè si una quidem sit, fugit, sed eum qui capere conatur invadit.
“Nunc quidem cùm sese in munitionem incluserint, potestatem nobis fecêre
“velut è penu quodam promendi et pugnandi cum tanto eorum numero,
“quanto nobis visum esset: at si latâ in planitie, ad ipsos accedemus, divi-

a Ὅπως μὴ, &c.] Ellipticam hanc locutionem jam supra p. 29. attigimus.

b Αἱ σύες, &c.] De his ità Noster in Κυνηγετ. Τὰ δὲ νεογνῆ (forsan, νεογενῆ, aut νεογνὰ) αὐτῶν ὅταν ἁλίσκηται, χαλεπῶς τοῦτο πάσχει. Οὔτε γὰρ μονοῦνται ἕως ἂν μακρὰ (forsan. νεαρὰ) ᾖ· ὅταν τέ αἱ κύνες ἐφευρῶσιν, ἢ προΐδῃ τι, ταχὺ εἰς τὴν ὕλην ἀφανίζεται. Ἕπονταί τε ἐπιτοπολὺ ὧν ἂν ὦσιν ἄμφω χαλεποὶ ὄντες τότε, καὶ μᾶλλον μαχόμενοι ὑπὲρ ἐκείνων ἢ ὑπὲρ αὑτῶν. *Edit. Steph.* p. 581.

" αὐτοῖς, καὶ μαθήσονται, χωρὶς γενόμενοι, οἱ μὲν κατὰ πρόσωπον ἡμῖν, ὥσπερ νῦν, ἐναντιοῦσθαι, οἱ δ' ἐκ πλαγίου, καὶ ἄλλοι ἐκ τοῦ ἑτέρου πλαγίου, οἱ δὲ καὶ ὄπισθεν· ὅρα μὴ πολλῶν ἑκάστῳ ἡμῶν καὶ ὀφθαλμῶν καὶ χειρῶν δεήσοι. Πρὸς δ' ἔτι, ἔφη, οὐ βουλοίμην ἂν ἔγωγε νῦν ὁρῶν Μήδους εὐθυμουμένους, ἐξαναστήσας ἀναγκάζειν κινδυνεύσοντας ἰέναι."

Καὶ ὁ Κῦρος ὑπολαβὼν εἶπεν, Ἀλλὰ μηδένα σύ γε ἀναγκάσῃς, ἀλλὰ τοὺς ἐθέλοντάς μοι ἕπεσθαι δός· καὶ ἴσως ἂν σοι καὶ τῶν σῶν φίλων τούτων ἑκάστῳ ἥκοιμεν ἄγοντες ἐφ' οἷς πάντες εὐθυμήσεσθε. Τὸ μὲν γὰρ πλῆθος ἡμεῖς γε τῶν πολεμίων οὐ διωξόμεθα· (πῶς γὰρ ἂν καὶ καταλάβοιμεν;) ἢν δέ τι ἢ ἀπεσχισμένον, τοῦ στρατεύματος λάβωμεν, ἤ τι ὑπολειπόμενον, ἥξομεν πρός σε ἄγοντες. Ἐννόει δ', ἔφη, ὅτι καὶ ἡμεῖς, ἐπειδὴ σὺ ἐδέου, ἤλθομεν, σοὶ χαριζόμενοι, μακρὰν ὁδόν· καὶ σὺ οὖν ἡμῖν δίκαιος εἶ ἀντιχαρίζεσθαι, ἵνα καὶ ἔχοντές τι οἴκαδε ἀφικώμεθα, καὶ μὴ εἰς τὸν σὸν θησαυρὸν πάντες ὁρῶμεν. Ἐνταῦθα δὴ ἔλεξεν ὁ Κυαξάρης, Ἀλλ' εἴγε μέντοι ἐθέλων τις ἕποιτο, καὶ χάριν ἔγωγέ σοι εἰδείην ἄν. Σύμπεμψον τοίνυν μοι τῶν ἀξιοπίστων τούτων τινά, ὃς ἐρεῖ ἃ ἂν σὺ ἐπιστείλῃς. Λαβὼν δὴ ἴθι, ἔφη, ὅντινα ἐθέλῃς τούτων. Ἔνθα δὴ ἐτύγχανεν [a] ὁ φήσας ποτὲ συγγενὴς αὐτοῦ εἶναι, καὶ φιληθείς, παρών. Εὐθὺς οὖν ὁ Κῦρος εἶπεν, Ἀρκεῖ, ἔφη, ἔμοιγε οὑτοσί.

" sisque copiis discent, partim nobis à fronte, quemadmodùm modò *accidit*, " obsistere, partim ab latere uno, partim ab altero, partim etiam à tergo; " vide, nè cuique nostrûm multis et oculis et manibus futurum sit opus. " Præthereà nolim equidem, inquit, cùm Medos nunc hilaritati indulgere " videam, *eos* surgere jussos ad periculosum iter cogere."

Et Cyrus respondens, Neminem verò coëgeris, inquit; sed illos da *tantùm*, qui me libentes sequentur: et fortassis ità redibimus, ut tibi et amicis hisce tuis singulis adferamus ea, quæ grata omnibus futura sunt. Copias enim hostium *confertim* omnes nos certè non persequemur; (nam quo pacto eas adsequi possimus?) verùm si quid vel avulsum ab exercitu nacti erimus, vel à tergò relictum, *id* ad te redeuntes adducemus. Cogita verò, inquit, nos etiam, quoniam tu rogabas, longo venisse itinere, tibi utì rem gratam faceremus: itaque te vicissim nobis gratificari æquum est, ut et *ipsi* aliquo cum emolumento domum redeamus, et omnes ad thesaurum tuum non respiciamus. Hìc Cyaxares, At verò, si quis, inquit, libens te sequatur, equidem tibi gratiam quoque habiturus sim. Mitte igitur mecum quendam de *tuis* hisce fide dignis, qui tu quæ jusseris exponat. Agè verò, inquit, quemcunque horum volueris accipe. Ibi fortè *Medus* ille aderat, qui aliquando cognatum se Cyri dixerat, et osculum *ab eo* tulerat. Subjiciens itaque mox Cyrus, Sufficit, inquit, hic mihi quidem. Et is ergò te sequa-

a Ὁ φήσας ποτὲ συγγενὴς, &c.] Vide lib. 1. p. 41.

Καὶ οὗτος τοίνυν, ἔφη, σοὶ ἑπέσθω· Καὶ λέγε σὺ, ἔφη, τὸν θέλοντα ἰέναι μετὰ Κύρου. Οὕτω δὴ λαβὼν τὸν ἄνδρα ἐξῄει. Ἐπεὶ δ' ἐξῆλθεν, εὐθὺς ὁ Κῦρος εἶπε, Νῦν δὲ σὺ δηλώσεις εἰ ἀληθῆ ἔλεγες, [a] ὅτε ἔφης ἥδεσθαί με θεώμενος. [b] Οὔκουν ἀπολείψομαί σου, ἔφη ὁ Μῆδος, εἰ τοῦτο λέγεις. Καὶ ὁ Κῦρος εἶπεν, Οὐκοῦν καὶ ἄλλοις προθύμως λέξεις; Κἀκεῖνος ἐπομόσας, Νὴ τὸν Δί', ἔφη, [c] ἕως ἄν γε ποιήσω καὶ σὲ ἡδέως ἐμὲ θεᾶσθαι. Τότε δὴ ἐκπεμφθεὶς ὑπὸ τοῦ Κυαξάρου, τά τε ἄλλα προθύμως ἀπήγγελλε τοῖς Μήδοις, καὶ προσετίθει ὅτι αὐτός γε οὐκ ἀπολείψοιτο ἀνδρὸς ἀρίστου καὶ καλλίστου, καὶ, τὸ μέγιστον, ἀπὸ θεῶν γεγονότος.

Πράττοντος δὲ ταῦτα τοῦ Κύρου, θείως πως ἀφικνοῦνται ἀπὸ Ὑρκανίων ἄγγελοι. [d] Οἱ δὲ Ὑρκάνιοι ὅμοροι μὲν τῶν Ἀσσυρίων εἰσὶν, ἔθνος δ' οὐ πολύ· διὸ καὶ ὑπήκοοι τῶν Ἀσσυρίων ἦσαν· ἔφιπποι δὲ καὶ τότε ἐδόκουν εἶναι, καὶ νῦν ἔτι δοκοῦσι· διὸ καὶ ἐχρῶντο αὐτοῖς οἱ Ἀσσύριοι, ὥσπερ καὶ οἱ Λακεδαιμόνιοι [e] τοῖς

tur, ait: Túque adeò dicito, ait, ut eat cum Cyro qui volet. Atque ità recepto *Cyrus* ad se homine exivit. Cúmque egressus esset, statim dixit Cyrus, Jam sanè tu declarabis verúmne sis loquutus, cùm te diceres voluptatem ex adspectu mei capere. Nequaquam verò à te discedam, inquit Medus, si hoc *quidem* dicis. Et Cyrus, Ergóne cæteris, ait, *hæc* prompto animo expones? Ille interposito jurejurando, Profectò, inquit, donec efficiam ut etiam tu me libenter adspicias. Tum demùm missus à Cyaxare, cùm alia Medis prompto animo denuntiavit, tum etiam addidit, se sanè à viro præstantissimo et pulcherrimo, atque *etiam*, quod maximum esset, à diis oriundo, abesse nolle.

Dum hæc à Cyro geruntur, divinitùs quodammodò *accidit ut* ab Hyrcaniis nuntii venirent. Sunt autem Assyriis finitimi Hyrcanii, natio non *illa quidem* magna: quocirca etiam imperio Assyriorum subjecti erant: equites verò *idonei* et tunc habebantur, et adhuc habentur: idcircò utebantur operâ ipsorum Assyrii, quemadmodùm Lacedæmonii Sciritarum:

a Ὅτε] Vulgò, ὅτι. Nos autem lectionem dedimus, quam Stephanus et Leunclavius restituerunt, et MS. Bodl. repræsentat.

b Οὔκουν] Scripturam hanc exhibit MS. Bodl. quam Stephanus etiam et Leunclavius receperunt. Vulgata illa, οὐκ οὖν, mendosa est.

c Ἕως ἄν γε] Sic editi ferè omnes et MS. Bodl. à quibus immerito discessisse videtur Leunclavius, qui rescripsit ὡς τε γ' ἄν, &c.

d Οἱ δὲ Ὑρκάνιοι, &c.] At, secundùm, Ptolemæum, Strabonem, aliósque tam veteres quàm recentiores Geographos, tota ferè Media inter Hyrcaniam jacet et Assyriam. Et aliis quidem de causis, hæc Xenophontéa gentis istius descriptio, incolis Hyrcaniæ, juxta mare Caspuim sitæ, parum accomodata videtur.

e Τοῖς Σκιρίταις] Hesychius, Σκειρίτης, (scribe, Σκιρίτης) λόχος οὕτω καλούμενος, ὁ προκινδυνεύων. Σκιρίτας autem Scirum incoluisse, Arcadum coloniam, epitome Stephani Byzant. prodidit. Et λόχον Σκιρίτην Lacedæmonii προκινδυνεύοντα habuerunt, primo in periculis constitutum loco, quemadmodùm Hesychius ait, addens disertè, λόχον illum fuisse Ἀρκαδικόν. De hâc autem cohorte sic *Diodor. Sic.* lib. 15. p. 350.

Σκιρίταις· οὐδὲν φειδόμενοι αὐτῶν οὔτ' ἐν πόνοις, οὔτ' ἐν κινδύνοις. Καὶ δὴ καὶ τότε ὀπισθοφυλακεῖν αὐτοὺς ἐκέλευον ὡς χιλίους ὄντας ἱππέας, ἵνα εἴ τι ὄπισθεν δεινὸν [a] εἴη, ἐκεῖνοι πρὸ ἑαυτῶν τοῦτ' ἔχοιεν. Οἱ δὲ Ὑρκάνιοι, ἅτε μέλλοντες ὕστατοι πορεύεσθαι, καὶ τὰς ἁμάξας τὰς ἑαυτῶν [b] καὶ τοὺς οἰκέτας ὑστάτους εἶχον. [c] Στρατεύονται γὰρ δὴ οἱ κατὰ τὴν Ἀσίαν ἔχοντες οἱ

nec in laboribus, nec periculis eis parcentes. Et quidem eo ipso tempore jusserant eos, qui erant equites circiter mille numero, extremum tueri agmen, ut si quid à tergo periculum instaret, id illi ante se subirent. Hyrcanii autem, utpote qui ultimo loco iter facturi erant, etiam currus suos et domesticos ultimos habebant. Nam pleræque nationes Asiaticæ expeditio-

Ὁ δὲ Σκιρίτης καλούμενος λόχος παρὰ τοῖς Σπαρτιάταις οὐ συντάττεται μετὰ τῶν ἄλλων, ἀλλ' ἰδίαν ἔχων σύστασιν, μετὰ τοῦ βασιλέως ἵσταται, καὶ παραβοηθεῖ τοῖς αἰεὶ θλιβομένοις μέρεσι. Hujus etiam meminit Noster, Λακεδαιμ. πολιτ. p. 401. Adi sis J. Meursii *Lect. Attic.* lib. 1. c. 16. Minimè vero prætermittenda est lectio, quam Philelphus exhibet; qui pro *Sciritis* habet *Hilotis*. Hunc meritò quidem reprehendit Leunclavius, non tantùm quod novam lectionem confinxisse videatur, sed quòd res ipsa *Hilotas* respuat. Nam Εἵλωτας planè servos fuisse plures testantur auctores. Harpocration, Εἵλωτες, οἱ μὴ γένῳ δοῦλοι Λακεδαιμονίων, ἀλλ' οἱ πρῶτοι χειρωθέντες τῶν Ἕλος τὴν πόλιν οἰκούντων. Pausanias in *Lacon.* p. 201. *ed. Sylburg.* Ἐπὶ θαλάσσῃ πόλισμα Ἕλος ἦν, οὗ δὴ καὶ Ὅμηρος ἐμνημόνευσεν ἐν καταλόγῳ Λακεδαιμονίων. Οἵ τ' ἄρ' Ἀμύκλας εἶχον, Ἕλος τ' ἔφαλον πτολίεθρον. Il. β'. v. 584. Καὶ πρῶτοι γε ἐγένοντο (istius nempe urbis incolæ) Λακεδαιμονίων δοῦλοι τοῦ κοινοῦ, καὶ Εἵλωτες ἐκλήθησαν πρῶτοι, καθάπερ γε καὶ ἦσαν. Τὸ δὲ οἰκετικὸν τὸ ἐπικτηθὲν ὕστερον Δωριᾶσι, Μεσσηνίους ὄντας, ὀνομασθῆναι καὶ τούτους ἐξενίκησεν Εἵλωτας. Ad versum autem Homericum, quem adducit Pausanias, Eustathius hæc: Εἵλωτες συνελθόντες τοῖς Μεσσηνίοις, ἦν ὅτε καὶ πράγματα παρασχόντες τοῖς Λακεδαιμονίοις, εἶτα ὑπετάγησαν ὡσεὶ καὶ δοῦλοι· καὶ ἐξ αὐτῶν τὸ ὄνομα τῶν Εἱλώτων εἰς δουλικὴν ἁπλῶς μετελήφθη κλῆσιν. J. Pollux sanè adfirmat Εἵλωτας *servos* non fuisse, sed μεταξὺ ἐλευθέρων καὶ δούλων. lib. 3. cap. 8. ideóque inauspicatò hunc testem advocavit Leunclavius cùm statuerat Εἵλωτες *prorsus servos* esse. Sed Pollux certè falsus est: nam, testimoniis jam adlatis plura nè adjungerem, tam dura crudelisque erat eorum servitus, ut in proverbium quasi abiret. Unde est, quod Isocrates in *Panathenaico*, p. 374. *edit. Wolf.* de Lacedæmoniis ità loquitur: Οὓς μὲν ἐλευθερώσειν ὡμολόγησαν, κατεδουλώσαντο μᾶλλον ἢ τοὺς Εἵλωτας. Consulas quoque *Athen.* lib. 14. c. 21. et Scholiast. ad Thucyd. lib. 1. p. 56. Satis igitur liquet, *servos* omninò fuisse *Hilotas*; quorum à conditione cùm longè aberant Hyrcanii, meliùs hos cum *Sciritis* confert Xenophon, equites præsertim cum equitibus. Miror itaque, doctum quendam Gallum, spretâ librorum optimorum et sanè, quos vidi, omnium auctoritate, Philelphum sibi sumpsisse ducem, atque adeò in Dissertatione, non ità pridem publici juris factâ, Εἱλώτων, tanquam Populi à Xenophonte hoc in loco memorati, mentionem fecisse.

a Εἴη] Sic Stephanus rectè edidit; prout etiam dat MS. Bodl. Vulgò, ἴοι.

b Τοὺς οἰκέτας] Vocabulum hoc plerumque pro *famulo* seu *servo domestico* capitur: ídque adeo poëtice pro *domesticis* in genere, seu *totâ familiâ* poni testatur J. Pollux. lib. 3. c. 8. Οἱ μέντοι ποιηταὶ καὶ τοὺς ἄλλους οἰκείους, οἰκέτας ὠνόμαζον. Hanc quidem significationem hîc, et alibi apud Nostrum, obtinet: nam statim subjicit, nationes Asiaticas secum domesticos in expeditionem sumere, μεθ' ὧν οἰκοῦσι, i. e. *familiam*. non enim servi soli μεθ' ἡμῶν οἰκοῦσι. Sed, hæc vocis οἰκέτης potestas ad stilum poëticum ab aliis referri non solet. Hesychius, Οἰκέται, οἱ κατὰ τὸν οἶκον πάντες· nec aliter Phavorinus. Thomas Magister, Οἰκέται, οὐ μόνον οἱ δοῦλοι, ἀλλὰ καὶ πάντες οἱ ἐν τῷ οἴκῳ, γυνὴ καὶ τέκνα. Suidas,——— οὐ μόνον οἱ θεράποντες, ἀλλὰ καὶ πάντες οἱ κατὰ τὴν οἰκίαν. Qui verba etiam Aristophanis in exemplum subjecit:

Οἱ δ' οἰκέται ῥέγκουσιν, ἀλλ', &c.

Νεφ. v. 5.

c Στρατεύονται γὰρ, &c.] Hoc autem ideò facere consueverant, quòd se, dum res sibi carissimæ adessent, animosiores fore, atque adeo pro earum tutelâ fortiùs acriùsque dimicaturos, putarent. Darius milites suos adloquens, "Conjuges quo-

πολλοὶ μεθ' ὧνπερ καὶ οἰκῦσι· καὶ τότε δὴ ἐςρατεύοντο οἱ Ὑρκάνιοι ὕτως. Ἐννοηθέντες δὲ οἷά τε πάσχυσιν ὑπὸ τῶν Ἀσσυρίων, καὶ ὅτι νῦν τεθναίη μὲν ὁ ἄρχων αὐτῶν, ἡττημένοι δ' εἶεν, φόβος δὲ πολὺς εἴη ἐν τῷ ςρατεύματι, οἵ τε σύμμαχοι αὐτῶν ὡς ἀθύμως ἔχοιεν καὶ ἀπολείποιεν· ταῦτα ἐνθυμυμένοις ἔδοξεν αὐτοῖς νῦν καλὸν εἶναι ἀποςῆναι, εἰ θέλοιεν οἱ ἀμφὶ Κῦρον συνεπιθέσθαι. Καὶ πέμπυσιν ἀγγέλυς πρὸς Κῦρον· ἀπὸ γὰρ τῆς μάχης τὸ τύτυ ὄνομα μέγιςον ηὔξετο. Οἱ δὲ πεμφθέντες λέγυσι Κύρῳ ὅτι μισοῖεν τὺς Ἀσσυρίους δικαίως, νῦν τε [a] εἰ βούλοιντο ἰέναι ἐπ' αὐτὺς, καὶ σφίσι σύμμαχοι ὑπάρξειαν καὶ ἡγήσαιντο· ἅμα δὲ πρὸς τύτοις διηγῦντο τὰ τῶν πολεμίων ὡς ἔχοι, οἷα δὴ ἐπαίρειν βυλόμενοι ὡς μάλιςα ςρατεύεσθαι αὐτόν. Καὶ ὁ Κῦρος ἐπήρετο αὐτὺς, Καὶ δοκεῖτε ἂν, ἔφη, ἡμᾶς ἔτι καταλαβεῖν αὐτὺς, πρὶν ἐν τοῖς ἐρύμασιν εἶναι; ἡμεῖς μὲν γὰρ, ἔφη, μάλα συμφορὰν τῦτο ἡγύμεθα εἶναι, ὅτι ἔλαθον ἡμᾶς ἀποδράντες. Ταῦτα δὲ ἔλεγε βυλόμενος αὐτὺς ὡς μέγιςον φρονεῖν ἐπὶ σφίσιν. Οἱ δὲ ἀπεκρίναντο ὅτι

nem suscipientes familiam secum unà ducunt; et in hâc quidem expeditione Hyrcanii morem hunc servabant. Cúmque ad animos eis accidisset, cujusmodi incommodis ab Assyriis afficerentur, et horum principem mortem occubuisse, victos ipsos esse, magnum metum invasisse exercitum, socios animum abjecisse defecisséque; hæc cùm secum ipsi cogitarent, visum est opportunè defectionem hoc tempore fieri posse, si *cum ipsis* Cyri exercitus *hostes* unà adoriri vellet. Atque *adeò* nuntios ad Cyrum mittunt: hujus enim nomini à prælio maxima celebritas accesserat. Qui autem missi erant, exponunt Cyro, jure se Assyrios odisse, ac si hoc tempore eos adgredi vellent, se quoque socios et duces ipsis itineris futuros: simul commemorabant etiam quo loco res hostium essent, utpote qui eum quàm maximè ad expeditionem *hanc* suscipiendam excitare cupiebant. Et Cyrus eos interrogans, An existimatis, inquit, nos adhuc eos adsequuturos, priusquam intra munitionis se recipiant? nam hoc *ipsum* nos magni infortunii loco ducimus, quod clam nobis aufugerint. Hæc verò dicebat, quòd eos magnificentissimè de se sentire vellet. Illi autem responderunt postridiè etiam manè

"que, *inquit*, et liberi sequuntur hanc "aciem: parata hostibus præda, nisi pro "carissimis pignoribus corpora opponimus." *Curt.* lib. 4. c. 14. Similiter *Max. Tyr.* Ἀλλὰ Πέρσαις μὲν αἱ παλλακίδες ἕπονται, ἵνα μάχωνται καλῶς ὑπὲρ τῶν φιλτάτων. Dissert. 14. p. 152. *Edit. Cant.* Et de iisdem *Herodot.* χρυσόν τε πολλὸν καὶ ἄφθονον ἔχοντες ἐνέπρεπον· ἁρμαμάξας τε ἅμα ἤγοντο, ἐν δὲ, παλλακὰς καὶ θεραπηΐην πολλήν τε καὶ εὖ ἐσκευασμένην. lib. 7. c. 83.

a Εἰ βούλοιντο ἰέναι, &c.] Sic editi ferè omnes: cùm tamen margines exhibere soleant βούλοιτο ἰέναι ἐπ' αὐτοὺς, καὶ σφεῖς σύμμαχοι ὑπάρχοιεν καὶ ἡγήσοιντο, hanc lectionem sibi sequendam duxit Leunclavius. At ea, quam recepimus, nec minùs commoda est, et meliùs iis respondere videtur, quæ modò præcesserant, εἰ θέλοιεν οἱ ἀμφὶ Κῦρον συνεπιθέσθαι. nec non iis, quæ mox sequuntur,——αὔριον ἕωθεν, εἰ εὔζωνοι πορεύοιντο. MS. autem Bodl. dat εἰ βούλοιντο ἰέναι ἐπ' αὐτοὺς, καὶ σφεῖς σύμμαχοι ὑπάρξοιεν καὶ ἡγήσαιντο.

[a] καὶ αὔριον ἕωθεν, εἰ εὔζωνοι πορεύοιντο, καταλήψοιντο· ὑπὸ γὰρ τοῦ ὄχλου καὶ τῶν ἁμαξῶν σχολῇ πορεύεσθαι αὐτούς· καὶ ἅμα, ἔφασαν, ἅτε τὴν προτεραίαν νύκτα ἀγρυπνήσαντες, νῦν μικρὸν πορευθέντες ἐστρατοπεδεύκασι. Καὶ ὁ Κῦρος ἔφη, Ἔχετε οὖν ὧν λέγετε πιστόν τι, [b] ἡμᾶς διδάσκον, ὡς ἀληθεύετε; Ὁμήρους γ', ἔφασαν, ἐθέλομεν ἐλάσαντες αὐτίκα τῆς νυκτὸς ἀγαγεῖν· μόνον καὶ σὺ ἡμῖν θεῶν τε πιστά ποίησον, [c] καὶ δεξιὰν δὸς, ἵνα φέρωμεν καὶ τοῖς ἄλλοις ταῦτα, ἅπερ ἂν αὐτοὶ λάβωμεν παρὰ σοῦ. Ἐκ τούτου τὰ πιστὰ δίδωσιν αὐτοῖς, [d] ἦ μὴν,

fieri posse, si expediti pergerent, ut *eos* adsequerentur: præ turbâ enim et plaustris eos lentè iter facere: ac præterea inquiunt, quippe quòd nocte superiore vigilâssent, jam paululùm progressi castra metati sunt. Et Cyrus inquit, Ergóne pignus quo fidem dictis faciatis aliquod habetis, quod nos doceat, vera vos dicere? Obsides, inquiunt, actutùm *hinc* profecti nocte adducere volumus: tu modò quoque diis testibus *tuam* nobis adstringe fidem, et dextram da, ut ea ad alios etiam adferamus, quæ abs te acceperimus. Secundùm hæc fidem iis dat, omninò se, ea si præstent quæ pollicentur,

a Καὶ αὔριον ἕωθεν, εἰ, &c.] Malè hæc verba à Leunclavio accepta sunt, qui ea sic distinxit, ὅτι καὶ αὔριον, ἕωθεν εἰ εὔζωνοι πορεύοιντο, &c. et reddidit, *etiam postridiè posse, si statim à diluculo expediti pergerent, &c.* At ἕωθεν illud ab αὔριον minimè sejungendum est; nec ad πορεύοιντο, sed ad καταλήψοιντο, unà cum αὔριον referendum est. Ex sequentibus enim liquet, Cyrum non expectâsse, dum postera dies illucesceret, sed, milites ut primum corpora cibo curaverant, iter ingressum esse: Ἐπειδὴ δ' ἐδείπνησαν, ἐξῆγε τὸ στράτευμα, ἔτι φωτὸς ὄντος, &c. Et paulò infra reperimus eum (prout hic futurum dicunt Hyrcanii) hostes postridiè manè opprimentem et in fugam vertentem: τῶν δὲ πολεμίων, ἐπεὶ σαφὲς ἐγένετο, οἱ μὲν ἐθαύμαζον, &c. Verùm alia etiam subest causa, cur interpunctionem et versionem Leunclavii rejiciamus. Nam Hyrcanios certè non fugerat, in Persicis esse moribus, ante ortum solem exercitum non movere: iique adeò nequaquam Cyrum, ut cum suis *statim à diluculo* (prout ἕωθεν vertit Leunclavius) procederet, monere vellent. Hanc autem consuetudinem Persicam respexit Q. Curtius lib. 3. c. 2. *Orto sole ad noctem agmina, sicut descripta erant, intravêre vallum*, et, *cap.* 3 disertis verbis exprimit: *Patrio more Persarum traditum est, orto sole demum procedere.* Idem docuit ante curtium Herodotus lib. 7. c. 54. τῇ δὲ ὑστεραίῃ ἀνέμενον τὸν ἥλιον, ἐθέλοντες ἰδέσθαι ἀνίσχοντα, θυμιήματά τε παντοῖα ἐπὶ τῶν γεφυρέων καταγίζοντες, καὶ μυρσίνῃσι στορνῦντες τὴν ὁδόν· ὡς δ' ἐπανέτελλε ὁ ἥλιος, &c.

b Ἡμᾶς διδάσκον] Vulgò, ἡμᾶς διδάσκειν, ὡς, &c. Nos fidem editionis Etonensis secuti sumus: et eam, quam damus, lectionem Stephanus etiam vulgatæ illi præferendam putat.

c Καὶ δεξιὰν δὸς] Dextrâ nempe alteri aut præsenti aut per internuntium datâ, fidem obstringere solebant Persarum reges; eratque hoc apud eos sanctissimum fidei pignus. Diod. Sic. lib. 16. p. 441. de Artaxerxe Thessalioni id jam fidei pignus daturo, quod paulò ante frustrà et non sine summo vitæ periculo poposcerat,—— μετακαλεσάμενος τοὺς ὑπηρέτας, ἀφεῖναι προσέταξε, καὶ τὴν δεξιὰν ἔδωκε τῷ Θετταλίωνι. Ἔστι δ' ἡ πίστις αὕτη βεβαιοτάτη παρὰ τοῖς Πέρσαις. Dion. Chrysost. περὶ ἀπιστ. Τισσαφέρνης δὲ οὐκ ὤμοσε μὲν τοῖς περὶ Κλέαρχον; Τί δαὶ ὁ βασιλεύς; οὐχὶ καὶ τοὺς βασιλείους θεοὺς, καὶ τὴν δεξιὰν ἀπέστειλε; p. 640. *edit. Morel.* Huc pertinent etiam Ctesiæ verba in *Persic.* c. 8. Καὶ Ἀμόργην φίλον τούτοις, τῶν δεξιῶν ἐμβαλλομένων, ἐποιεῖτο, καὶ ἀλλήλοις. Sed, aliis quoque gentibus hunc fidem dandi accipiendique morem observatum fuisse, neminem ferè latet.

d Ἦ μὴν] Hæ particulæ in jurejurando sæpè et potissimùm reperiuntur. Ità apud Nostrum, lib. 2. p. 117, ἀλλὰ σὺν θεῶν ὅρκῳ λέγω, ἦ μὴν ἐμοὶ δοκεῖ Κῦρος, &c. Et passim alibi. Suidas, Ἦ μὴν· ὄντως δή· Qui hoc adfert exemplum: Ὄμνυμι τοὺς βασιλείους θεοὺς, ἦ μὴν ἐγὼ ὑμᾶς σώσω. Alia dabit Budæus. Eâdem formulâ Deum jurâsse indicatur Heb. vi. 14. Ἦ μὴν εὐλογῶν εὐλογήσω σε, καὶ &c. ubi malè Vers. Vulg.

ἐὰν ἐμπεδῶσιν ἃ λέγουσιν, ὡς φίλοις καὶ πιστοῖς [a]χρήσεσθαι αὐτοῖς, ὡς μήτε Περσῶν μήτε Μήδων μεῖον ἔχειν παρ' αὐτῷ. Καὶ νῦν δ' ἔτι ἰδεῖν ἐστιν Ὑρκανίους καὶ πιστευομένους καὶ ἀρχὰς ἔχοντας, ὥσπερ καὶ Περσῶν καὶ Μήδων οἳ ἂν δοκῶσιν ἄξιοι εἶναι.

Ἐπειδὴ δ' ἐδείπνησαν, ἐξῆγε τὸ στράτευμα ἔτι φωτὸς ὄντος, καὶ τοὺς Ὑρκανίους περιμένειν ἐκέλευσεν, ἵνα ἅμα ἴοιεν. Οἱ μὲν δὴ Πέρσαι πάντες, ὥσπερ εἰκὸς, εὐθὺς ἔξω ἦσαν, καὶ Τιγράνης ἔχων τὸ ἑαυτοῦ στράτευμα· τῶν δὲ Μήδων ἐξῄεσαν οἱ μὲν, διὰ τὸ παιδὶ Κύρῳ ὄντι παῖδες ὄντες φίλοι γενέσθαι· οἱ δὲ, διὰ τὸ, ἐν θήραις συγγενόμενοι, ἀγασθῆναι αὐτοῦ τὸν τρόπον· οἱ δὲ, διὰ τὸ χάριν εἰδέναι ὅτι μέγαν αὐτοῖς φόβον ἀπεληλακέναι ἐδόκει· οἱ δὲ, καὶ ἐλπίδας ἔχοντες, διὰ τὸ ἄνδρα φαίνεσθαι ἀγαθὸν, καὶ εὐτυχῆ καὶ μέγαν ἔτι ἰσχυρῶς ἔσεσθαι αὐτόν· οἱ δὲ, ὅτε ἐτρέφετο ἐν Μήδοις, [b]εἴ τινι ἀγαθὸν συνέπραξεν, ἀντιχαρίζεσθαι ἐβούλοντο· (πολλοῖς δὲ πολλὰ διὰ φιλανθρωπίαν παρὰ τοῦ πάππου ἀγαθὰ διεπέπρακτο) πολλοὶ δ' ἐπεὶ τοὺς Ὑρκανίους εἶδον, καὶ λόγος διεδόθη ὡς ἡγήσοιντο ἐπὶ πολλὰ ἀγαθὰ, ἐξῄεσαν καὶ τοῦ λαβεῖν τι ἕνεκα. Οὕτω δὴ καὶ Μῆδοι

illos et amicorum et fidorum *hominum* loco habiturum, ut deteriori apud se conditione non essent, quàm vel Persæ vel Medi. Atque hâc etiam tempestate videre est, et fidem Hyrcaniis haberi et eosdem magistratus gerere, quemadmodùm qui de natione Persarum et Medorum *iisdem* digni videntur esse.

Cyrus, posteaquam cœnatum esset, copias eduxit, cùm adhuc luceret, jussitque Hyrcanios opperiri, ut unà proficiscerentur. Ac Persæ quidem universi, ceu par erat, statim *castris* egrediebantur, et Tigranes *itidem* suis cum copiis; Medorum autem alii, quòd pueri cum Cyro puero amicitiam contraxerant, prodiêre; alii, quòd cum eo in venationibus consuetudine congressi, mores ipsius admirati fuissent; alii, quòd gratiam ipsi haberent, qui metum eis ingentem depulisse videretur; alii, spe conceptâ, quòd *Cyrus* virum se virtute præditum præberet, eum etiam felicem valdéque magnum aliquando futurum: alii verò, si qua in se, dum apud Medos educaretur, contulerat beneficia, pro his vicissim ei rem gratam facere volebant; (et multis *sanè* multa commoda, quæ ejus erat humanitas, apud avum confecerat) multi etiam, cùm Hyrcanios cernerent, et rumor esset diditus, *hos* ad multa bona *eis* duces futuros, illâ ipsâ de causâ proficiscebantur, ut aliquid consequerentur. Atque ità *factum, ut* et Medi prope universi prodirent,

et Erasm. *Nisi benedicens*, &c. Rectiùs Beza: *Certè*, &c.

a Χρήσεσθαι] Stephanus, Leunclavius aliique edidêre χρήσασθαι. Sed illorum uterque receptam lectionem laudat, eámque satis tuentur MS. Bodl. et editio Eton. et res ipsa quidem flagitat.

b Εἴ τινι, &c.] Sic editi, quos vidi, omnes: quorum tamen margines dant εἴ τι ἀγαθὸν τῷ συνέπραξεν. MS. autem Bodl. εἴ τινι ἀγαθόν τι συνέπραξεν. At nihil est, quòd lectionem vulgatam loco moveamus.

σχεδὸν ἅπαντες ἐξῆλθον, πλὴν ὅσοι σὺν Κυαξάρει ἔτυχον σκηνοῦντες· οὗτοι δὲ κατέμειναν, καὶ οἱ τούτων ὑπήκοοι. Οἱ δὲ ἄλλοι πάντες φαιδρῶς καὶ προθύμως ἐξωρμῶντο, ἅτε οὐκ ἀνάγκῃ, ἀλλ' ἐθελούσιοι καὶ χάριτος ἕνεκα ἐξιόντες. Ἐπειδὴ δὲ ἔξω ἦσαν, πρῶτον μὲν πρὸς τοὺς Μήδους ἐξελθὼν ἐπῄνεσέ τε αὐτοὺς, καὶ ἐπεύξατο, μάλιστα μὲν θεοὺς αὐτοῖς ἵλεως ὄντας ἡγεῖσθαι καὶ σφίσιν, ἔπειτα δὲ καὶ αὐτὸς δυνηθῆναι χάριν αὐτοῖς ταύτης τῆς προθυμίας ἀποδοῦναι. Τέλος δ' οὖν εἶπεν ὅτι ἡγήσοιντο μὲν αὐτοῖς οἱ πεζοὶ, ἐκείνους δὲ ἕπεσθαι σὺν τοῖς ἵπποις ἐκέλευσε· καὶ ὅπου ἂν ἢ ἀναπαύωνται ἢ ἐπίσχωσι τῆς πορείας, ἐκέλευσεν αὐτοῖς πρὸς ἑαυτὸν παρελαύνειν τινὰς, ἵνα εἰδῶσι τὸ ἀεὶ καίριον.

Ἐκ τούτου ἡγεῖσθαι ἐκέλευσε τοὺς Ὑρκανίους. Καὶ οἳ ἠρώτων, Τί δὲ οὐκ ἀναμένεις, ἔφασαν, τοὺς ὁμήρους ἕως ἂν ἀγάγωμεν, ἵνα καὶ σὺ ἔχων τὰ πιστὰ παρ' ἡμῶν πορεύῃ; Καὶ τὸν ἀποκρίνασθαι λέγεται, Ἐννοῶ γὰρ, φάναι, ὅτι ἔχομεν πάντες τὰ πιστὰ ἐν ταῖς ἡμετέραις ψυχαῖς καὶ ταῖς ἡμετέραις χερσίν. Οὕτω γὰρ δοκοῦμεν παρεσκευάσθαι, ὡς, ἐὰν μὲν ἀληθεύητε, ἱκανοὶ εἶναι ὑμᾶς εὖ ποιεῖν· ἐὰν δὲ ἐξαπατᾶτε, οὕτω νομίζομεν ἔχειν, ὡς μὴ ἡμᾶς ἐφ' ὑμῖν γενέσθαι, ἀλλὰ μᾶλλον, ἐὰν οἱ θεοὶ βούλωνται, ὑμᾶς ἐφ' ἡμῖν γενήσεσθαι. Καὶ μέντοι, ἔφη, ὦ Ὑρκάνιοι, ἐπειδήπερ φατὲ ὑστάτους πορεύεσθαι τοὺς ὑμετέρους, ἐπειδὰν ἴδητε αὐτοὺς, σημαίνετε ἡμῖν [a]ὅτι οἱ ὑμέτεροί εἰσιν, ἵνα φειδώμεθα

extra eos, quicunque Cyaxari fortè erant contubernales; hi enim, cum subjectis imperio suo, manebant. Cæteri omnes lætis alacribusque animis illinc profecti sunt, utpote qui non coacti, sed sponte suâ gratificandíque studio prodirent. Cùm verò jam egressi essent, primùm Medos adiit, iisque collaudatis precatus est, maximè quidem ut dii propitii et ipsis et sibi duces essent, deinde ut et ipse gratiam iis pro hoc studio referre posset. Tandem pedites præituros dixit, útque cum equis ipsi sequerentur imperavit: ac ubi vel requiescerent vel in itinere subsisterent, præcepit iis ut ad se quidam equis adveherentur, ut quid pro tempore quolibet fieri oporteret cognoscerent.

Secundùm hæc jussit Hyrcanios præire. Et illi interrogantes, Cur non expectas, inquiunt, donec obsides adducamus, ut et tu fide pignoribus à nobis *prius* acceptis progrediaris? *Cyrus ibi* respondisse fertur, Equidem cogito, inquit, nostris in animis manibusque nostris fidei nos omnes habere pignora. Sic enim instructi *nobis* videmur, ut, vera si dicatis, nobis adsit beneficiis vos adficiendi facultas: sin fraude uti velitis, ità nos comparatos existimamus, ut minimè nos in potestate vestrâ, sed vos potiùs in nostrâ, diis volentibus, futuri sitis. Et verò Hyrcanii, ait, quia postremo loco vestros proficisci dicitis, ubi eos videritis, significate nobis illos esse vestros, iis uti

a Ὅτι οἱ ὑμέτεροι] A quibusdam libris abest articulus iste: illum autem præstant MS. Bodl. Stephanus et Leunclavius, qui tamen illi notam apposuerunt. Sed, non

αὐτῶν. Ἀκȣσαντες ταῦτα οἱ Ὑρκάνιοι, τὴν μὲν ὁδὸν ἡγοῦντο, ὥσπερ ἐκέλευε, τὴν δὲ ῥώμην τῆς ψυχῆς ἐθαύμαζον· καὶ οὐχὶ τȣ̀ς Ἀσσυρίȣς, ȣ̓δὲ τȣ̀ς Λυδȣ̀ς, ȣ̓δὲ τȣ̀ς συμμάχȣς ἑαυτῶν ἔτι ἐφοβȣ̃ντο, ἀλλὰ μὴ παντάπασιν ὁ Κῦρος μικράν τινα ἑαυτῶν οἴοιτο ῥοπὴν εἶναι καὶ παρόντων καὶ ἀπόντων.

Πορευομένων δὲ, ἐπεὶ νὺξ ἐγένετο, λέγεται φῶς τῷ Κύρῳ καὶ τῷ στρατεύματι ἐκ τȣ̃ ȣ̓ρανȣ̃ προφανὲς γενέσθαι, ὥστε πᾶσι φρίκην μὲν πρὸς τὸ θεῖον ἐγγίγνεσθαι, θάρσος δὲ πρὸς τȣ̀ς πολεμίȣς. Ὡς δὲ εὔζωνοί τε καὶ ταχὺ ἐπορεύοντο, εἰκότως πολλήν τε ὁδὸν διήνυσαν, καὶ ἅμα κνέφαϊ πλησίον γίγνονται τȣ̃ τῶν Ὑρκανίων στρατεύματος. Ὡς δ' ἔγνωσαν οἱ ἄγγελοι, λέγȣσι τῷ Κύρῳ ὅτι ȣ̔͂τοί εἰσιν οἱ σφέτεροι· τῷ τε γὰρ ὑστάτȣς εἶναι, γιγνώσκειν ἔφασαν, καὶ τῷ πλήθει τῶν πυρῶν. Ἐκ τȣ́τȣ πέμπει τὸν ἕτερον αὐτῶν πρὸς αὐτȣ̀ς, προστάξας λέγειν, εἰ φίλοι εἰσὶν, ὡς τάχιστα ὑπαντᾷν τὰς δεξιὰς ἀνατείναντας. Συμπέμπει δέ τινας καὶ τῶν σὺν ἑαυτῷ, καὶ λέγειν ἐκέλευσε τοῖς Ὑρκανίοις ὅτι ὡς ἂν ὁρῶσιν αὐτȣ̀ς προσφερομένȣς, ȣ̔́τω καὶ αὐτοὶ ᵃποιήσȣσιν. Οὕτω δὴ ὁ μὲν μένει τῶν ἀγγέλων παρὰ Κύρῳ, ὁ δὲ προσελαύνει πρὸς τȣ̀ς Ὑρκανίȣς.

Ἐν ᾧ δ' ἐσκόπει τȣ̀ς Ὑρκανίȣς ὁ Κῦρος ὅ,τι ποιήσȣσιν,

parcamus. Hæc cùm audîssent Hyrcanii, et præundo itineris se duces præstabant, quemadmodùm mandârat, et animi robur admirabantur; neque jam Assyrios neque Lydos, neque socios ipsorum ampliùs metuebant, sed *hoc unum* nè Cyrus omninò parum in ipsis momenti situm existimaret, sive *ei* adessent sive abessent.

Cùm autem, iis progredientibus, nox adpetiisset, traditum est, Cyro et exercitui lucem clarissimam cœlo datam fuisse, *quo factum* ut in animis omnium *quidam* horror erga numen divinum, et in hostes confidentia nasceretur. Et quia expediti celeritérque pergerent, mirum non est si magnum confecissent iter, atque *adeò* cum *ipso* crepusculo prope ab Hyrcaniorum copiis aberant. Id cùm nuntii animadvertissent, Cyrum docent, hos esse suos: nam *hoc* et indè se intelligere aiebant, quòd essent ultimi, et de ignium multitudine. Tum eorum alterum ad ipsos mittit, jubétque dicere, ut si *quidem* essent amici, quàm celerrimè sublatis dextris occurrerent. Quosdam etiam suorum unà mittit, *quibus* præcipit Hyrcaniis dicerent, futurum ut ipsi eodem se gererent modo, quo eos ad se ferri viderent. Atque ità nuntius alter apud Cyrum manet, alter ad Hyrcanios equo provehitur.

Intereà verò, dum quid Hyrcanii facturi essent considerabat Cyrus, exer-

minùs placet articulus hoc in loco positus, quàm in isto paulò post sequenti, λέγȣσι τῷ Κύρῳ ὅτι ȣ̔͂τοί εἰσιν οἱ σφέτεροι cùm de hâc locutione, οἱ σφέτεροι, nullæ moveantur lites, illam, οἱ ὑμέτεροι, critici frustrà solicitâsse videntur.

a Ποιήσȣσιν] In nonnullis libris legitur ποιήσωσιν. At Stephanus et Leunclavius omninò rectè scripserunt ποιήσȣσι, quod MS. etiam Bodl. exhibet.

ἐπέστησε τὸ στράτευμα· καὶ παρελαύνουσι πρὸς αὐτὸν οἱ τῶν Μήδων προεστηκότες καὶ ὁ Τιγράνης, καὶ ἐρωτῶσι τί δεῖ ποιεῖν. Ὁ δὲ λέγει αὐτοῖς, Τοῦτ' ἐστὶ τὸ πλησίον Ὑρκανίων στράτευμα, καὶ οἴχεται ὁ ἕτερος τῶν ἀγγέλων πρὸς αὐτοὺς, καὶ τῶν ἡμετέρων τινὲς σὺν αὐτῷ, ἐροῦντες, εἰ φίλοι εἰσὶν, ὑπαντᾷν τὰς δεξιὰς ἀνατείναντας πάντας. Ἐὰν μὲν οὖν οὕτως ἴωσι, δεξιοῦσθε αὐτοὺς καθ' ὃν ἂν ᾖ ἕκαστος, καὶ ἅμα θαῤῥύνετε· ἐὰν δὲ ὅπλα αἴρωνται, ἢ φεύγειν ἐπιχειρῶσι, τούτων, ἔφη, πρώτων εὐθὺς πειρᾶσθε μηδένα λείπειν. Ὁ μὲν τοιαῦτα παρήγγειλεν· Οἱ δὲ Ὑρκάνιοι ἀκούσαντες τῶν ἀγγέλων, ἥσθησάν τε, καὶ ἀναπηδήσαντες ἐπὶ τοὺς ἵππους παρῆσαν, τὰς δεξιὰς, ὥσπερ εἴρητο, προτείνοντες· οἱ δὲ Μῆδοι καὶ οἱ Πέρσαι ἀντεδεξιοῦντό τε αὐτοὺς καὶ ἐθάῤῥυνον. Ἐκ τούτου δὴ λέγει ὁ Κῦρος, Ἡμεῖς μὲν δὴ, ὦ Ὑρκάνιοι, ἤδη ὑμῖν πιστεύομεν· καὶ ὑμᾶς δὲ χρὴ πρὸς ἡμᾶς οὕτως ἔχειν. Τοῦτο δ', ἔφη, ἡμῖν πρῶτον εἴπατε, ὁπόσον ἀπέχει ἐνθένδε ἔνθα αἱ ἀρχαί εἰσι τῶν πολεμίων, καὶ τὸ ἀθρόον αὐτῶν. Οἱ δὲ ἀπεκρίναντο ὅτι ὀλίγῳ πλέον ἢ παρασάγγην. Ἐνταῦθα δὴ λέγει ὁ Κῦρος, "Ἄγετε δὴ, ἔφη, ὦ ἄνδρες Πέρσαι καὶ Μῆδοι, καὶ ὑμεῖς "ὦ Ὑρκάνιοι, (ἤδη γὰρ καὶ πρὸς ὑμᾶς ὡς συμμάχους "καὶ κοινωνοὺς διαλέγομαι) εὖ χρὴ εἰδέναι νῦν ὅτι ἐν τούτῳ "ἐσμὲν, ἔνθα μαλακισάμενοι μὲν, πάντων ἂν τῶν χαλε- "πωτάτων τύχοιμεν· (ἴσασι γὰρ οἱ πολέμιοι ἐφ' ἃ ἥκομεν) "ἢν δὲ κατὰ τὸ καρτερὸν ἐμβαλόμενοι ἴωμεν ῥώμῃ καὶ θυμῷ

citum subsistere jussit; et eum adequitant principes Medorum et Tigranes, et quid faciendum sit interrogant. Ille autem dicit iis, Agmen hoc proximum Hyrcaniorum est, et ad eos nuntiorum alter abiit, cúmque hoc de nostris aliqui, done monituri *eos*, ut si *quidem* amici sint, sublatis dextris occurrant omnes. Quapropter si hoc modo accesserint, dextras eis suo quisque loco porrigite, simúlque animum ipsis addite: sin arma expedierint, aut fugam moliantur, date operam, ait, nè quis ex *hostium* primis hisce supersit. Hujusmodi quædam præcipiebat *Cyrus;* Hyrcanii verò nuntios cùm audîssent et gavisi sunt, et equis *celeriter* conscensis adfuerunt, dextras, utì denuntiatum fuerat, protendentes: et Medi ac Persæ dextras vicissim iis porrigebant, atque bono eos animo esse jubebant. Deinde Cyrus, Nos quidem, inquit, Hyrcanii, vobis jam fidem habemus; ac vos etiam eodem modo erga nos adfectos esse oportet. Verùm hoc primùm nobis dicite, quantum hinc distet *is locus* ubi hostium principes, et totæ eorum sunt copiæ. Responderunt illi, paulò majus intervallum esse parasangâ. Hìc Cyrus, "Agite, ergò, inquit, Persæ, Medi, et vos Hyrcanii, (nam vos etiam tanquam auxiliares et socios adloquor) certò *nos* scire oportet, eo rès nostras "esse in loco, ut si molliter remisséque agamus, gravissima quæque *mala* "nobis eventura sint: (nôrunt enim hostes quarum rerum causâ huc advenerimus:) sin totis viribus inruentes, fortiter animoséque hostes adgrediemur, illicò videbitis, eorum, servorum fugitivorum more qui reperiuntur,

"ἐπὶ τοὺς πολεμίους, αὐτίκα μάλα ὄψεσθε ὥσπερ δούλων ἀποδι-
"δρασκόντων καὶ εὑρημένων, τοὺς μὲν ἱκετεύοντας αὐτῶν, τοὺς
"δὲ φεύγοντας, τοὺς δ' οὐδὲ ταῦτα φρονεῖν δυναμένους. Ἡττη-
"μένοι τε γὰρ ὄψονται ἡμᾶς, καὶ οὔτε οἰόμενοι ἥξειν, οὔτε συν-
"τεταγμένοι, οὔτε μάχεσθαι παρεσκευασμένοι, κατειλημμένοι
"ἔσονται. Εἰ οὖν ἡδέως βουλοίμεθα καὶ δειπνῆσαι καὶ νυκτε-
"ρεῦσαι καὶ βιοτεύειν τὸ ἀπὸ τοῦδε, μὴ δῶμεν αὐτοῖς σχολὴν
"μήτε βουλεύσασθαι, μήτε παρασκευάσασθαι μηδὲν ἀγαθὸν ἑαυ-
"τοῖς, μηδὲ γνῶναι πάμπαν ὅτι ἄνθρωποί ἐσμεν· ἀλλὰ γέῤῥα
"καὶ κοπίδας καὶ σαγάρεις ἅπαντα καὶ πληγὰς ἥκειν νομι-
"ζόντων. Καὶ ὑμεῖς μὲν, ἔφη, ὦ Ὑρκάνιοι, ὑμᾶς αὐτοὺς προ-
"πετάσαντες ἡμῶν, [a] προπορεύεσθε ἔμπροσθεν, ὅπως τῶν ὑμε-
"τέρων ὅπλων ὁρωμένων λανθάνωμεν ὅτι πλεῖστον χρόνον. Ἐπει-
"δὰν δ' ἐγὼ πρὸς τῷ στρατεύματι γένωμαι τῶν πολεμίων, παρ'
"ἐμοὶ μὲν καταλείπετε ἕκαστοι τάξιν ἱππέων, ὡς, ἐάν τι δέῃ,
"χρῶμαι μένων παρὰ τὸ στρατόπεδον. Ὑμῶν δὲ οἱ μὲν ἄρχον-
"τες καὶ οἱ πρεσβύτεροι ἐν τάξει ἐλαύνετε ἀθρόοι, εἰ σωφρονεῖτε,
"ἵνα μήποτε ἀθρόῳ τινὶ ἐντυχόντες ἀποβιασθῆτε· τοὺς δὲ νεω-
"τέρους ἐφίετε διώκειν· οὗτοι δὲ καινόντων· τοῦτο γὰρ ἀσφαλέστα-
"τον νῦν ὡς ἐλαχίστους τῶν πολεμίων λείπειν. [b] Ἢν δὲ (τὸ

"alios supplicare, alios fugere, alios nè ad hæc quidem posse animos in-
"tendere. Nam victi nos adspicient, et neque fore ut adventemus existi-
"mantes, neque in ordines dispositi, neque ad pugnam parati deprehenden-
"tur. Quamobrem si suaviter et cœnare et noctem *hanc* exigere et vivere
"deinceps volumus, nè demus eis deliberandi otium, neque parandi quid-
"quam, quod ipsis ex usu sit, et nè omninò animadvertendi quidem quòd
"homines simus: sed non nisi scuta, et copidas, et secures, et plagas venis-
"se putent. Et vos quidem, Hyrcanii, ait, vosmet nobis prætendendo,
"antecedite, quò vestris armis conspectis quàm longissimo tempore hostes
"fallere possimus. Verùm ubi ad hostium ego copias pervenero, cohortem
"equitum apud me singuli relinquite, ut eorum operâ, si quid opus fuerit,
"*ipse* apud exercitum manens utar. Vos autem qui principes estis et
"ætate provectiores, ordinibus servatis conferti procedite, si sapitis, ut nè
"in confertas *hostium* copias delapsi per vim repellamini; junioribus per-
"sequendi potestatem facite; iique *adeò hostes* occidant: nam id tutissi-
"mum hoc fuerit tempore, ut ex hostibus quàm paucissimos superstites
"relinquamus. Quòd si accidat (id quod multis usu venit, qui rerum poti-

a Προπορεύεσθε ἔμπροσθεν] Simili plané modo πλεονάζει adverbium ἔμπροσθεν, Luc. xix. 4. Καὶ προδραμὼν ἔμπροσθεν, ἀνέβη, &c. Itaque Beza non audiendus est, qui Complutensis N. T. editionis et MSti cujusdam codicis auctoritate nixus, frustráque de pleonasmo adverbii ἔμπροσθεν minimè insolenti solicitus, προσδραμὼν ἔμπροσθεν, potiùs quam, προδραμὼν ἔμπροσθεν, amplectendum putavit.

b Ἢν δὲ (τὸ, &c.) Sic in plerisque editis et MSto Bodl. legitur et distinguitur hic locus. Leunclavius autem dat, Ἢν δὲ πολλοῖς δὴ συμβέβηκός κρατοῦσι, τὴν, &c. At ne-

"πολλοῖς δὴ συμβεβηκὸς κρατᾶσι) τὴν τύχην ἀνατρέψαι γίγ-"νηται, φυλάξασθαι δεῖ τὸ ἐφ' ἁρπαγὴν τραπέσθαι· ὡς ὁ "τᾶτο ποιῶν ἐκέτι ἀνήρ ἐςιν ἀλλὰ σκευοφόρος, καὶ ἔξεςι τῷ "βελομένῳ ἤδη χρῆσθαι τέτῳ ὡς ἀνδραπόδῳ. Ἐκεῖνο δὲ χρὴ "γνῶναι, ὅτι ἐδέν ἐςι κερδαλεώτερον τᾶ νικᾶν. ᵃὉ γὰρ κρα-"τῶν ἅμα πάντα συνήρπακε, καὶ τὰς ἄνδρας, καὶ τὰς γυναῖ-"κας, καὶ τὰ χρήματα, καὶ πᾶσαν ἅμα τὴν χώραν. Πρὸς "ταῦτα τᾶτο μόνον ὁρᾶτε, ὅπως τὴν νίκην διασώσωμεν· ἐν γὰρ "ταύτῃ καὶ αὐτὸς ὁ ἁρπάζων ἔχεται. Καὶ τᾶτο ἅμα διώκον-"τες μέμνησθε, ἥκειν πάλιν ὡς ἐμὲ ἔτι φωτὸς ὄντος· ὡς σκότας "γενομένα ἐδένα ἔτι προσδεξόμεθα."

Ταῦτα εἰπὼν ἀπέπεμπεν εἰς τὰς τάξεις ἑκάςας, καὶ ἐκέλευσεν ἅμα πορευομένας τοῖς αὐτᾶ ἕκαςον δεκαδάρχοις ταῦτα σημαίνειν· (ἐν μετώπῳ γὰρ οἱ δεκάδαρχοι ἦσαν, ὥςε ἀκέειν) τὰς δὲ δεκαδάρχας τῇ δεκάδι ἕκαςον κελεύειν παραγγέλλειν. Ἐκ τούτου προηγᾶντο μὲν οἱ Ὑρκάνιοι, ᵇαὐτὸς δὲ τὸ μέσον ἔχων σὺν

"untur) ut evertamus *ipsorum* fortunam, cavendum erit, nè ad prædam "nos conferamus: nam qui hoc facit, non ampliùs vir est *et miles*, sed "sarcinarius calo, atque hunc *adeò* utì mancipium tractare cuivis licet. Il-"lud autem sciamus oportet, victoriâ nihil esse quæstuosius. Nam qui "victor est, is simul omnia corripit, et viros, et mulieres, et opes, et regio-"nem simul universam. Ad hæc unicum illud videte, ut victoriam con-"servemus: quippe quâ etiam raptor ipse continetur. Hoc quoque inter "persequendum memineritis, ut ad me, dum adhuc lucebit, redeatis: nam "postquam tenebræ accesserint, neminem ampliùs admissuri sumus."

Hæc loquutus unumquemque suos ad ordines dimisit, simúlque edixit, *ad suos* cùm venissent, decurionibus suis hæc quisque significarent: (nam quia in fronte decuriones erant, audire poterant) decurionum verò quemque juberent *eadem* decuriæ suæ denuntiare. Secundùm hæc antecedebant Hyrcanii, ipse cum Persis medium *agmen* tenens iter faciebat; equitésque

que hæc, neque recepta quidem mihi arridet lectio. Stephanus verba ista depravata, ut opinor, existimans, in margine editionis suæ latinæ rejicit nos ad annotationes, in quibus tamen de hoc toto loco silentium est. Ego sanè Mureto libenter accederem, qui itâ legendum censuit, Ἐν δὲ ὃ πολλοῖς ἤδη συμβεβηκὸς κρατοῦσι, τὴν νίκην ἀνέτρεψε, φυλάξασθαι δεῖ, τὸ ἐφ' ἁρπαγὴν τραπέσθαι. Illud autem τὴν τύχην ferri potest, sed νίκην mavult Muretus: cujus ex sententiâ hoc dicit Cyrus, "Unum eis cavendum esse, nè cùm superiores esse "cœperint, convertantur ad prædam, et "ad spolianda occisorum corpora: eo "enim modo multis contigisse, ut cùm "jam vincerent, victoria ipsis è manibus "elaberetur." Ejus autem rei crebra sunt in Historiis exempla. Adi sis Diodor. Sic. lib. 16. p. 423. et Platonem de *Repub.* lib. 5. p. 376. *edit. Cant.* Qui verò legerant ἣν pro ἓν, et ἀνατρέψαι pro ἀνέτρεψε, addidisse posteà de suo illud γίγνηται videntur.

a Ὁ γὰρ κρατῶν, &c.] Sic Alexander suos etiam, ut eorum incitaret animos, adlocutos est milites: *omnia victoriâ parari.* Curt. lib. 3. c. 10. Et Cyrus jam antea lib. 2. p. 112.

b Αὐτὸς δὲ τὸ μέσον, &c.] Medium sanè potissimùm in acie locum Persarum regem tenuisse docet Xenophon, ἀναβ. lib. 1. p. 157. ibidemque rationem etiam hujus tradit consuetudinis: Cyrum enim sategisse

a *Προσεκύνησαν*] De ratione, quâ inter Persas salutationes fieri solebant, ita *Herodotus* lib. 1. c. 134. *Ἐντυγχάνοντες*, inquit, *ἀλλήλοισι ἐν τῇσι ὁδοῖσι, τῷδε ἄν τις διαγνοίη εἰ ὅμοιοί εἰσι οἱ ἐντυγχάνοντες· ἀντὶ γὰρ τοῦ προσαγορεύειν ἀλλήλους, φιλέουσι τοῖσι στόμασι· ἢν δὲ ᾖ οὕτερος ὑποδεέστερος ὀλίγῳ, τὰς παρειὰς φιλέονται· ἢν δὲ πολλῷ ᾖ οὕτερος ἀγενέστερος, προσπίπτων προσκυνέει τὸν ἕτερον.* Hâc postremâ autem ratione regem venerari iis moris erat: sic enim Tithraustes, qui res nuntiatas ad regem perferre, et rogantes introducere solebat, Ismeniam Thebanum adloquutus est: *Νόμος ἐστὶν ἐπιχώριος Πέρσαις, τὸν εἰς ὀφθαλμοὺς ἐλθόντα τοῦ βασιλέως, μὴ πρότερον λόγου μεταλαγχάνειν, πρὶν ἢ προσκυνῆσαι αὐτόν.* Ælian. Hist. var. lib. 1. c. 21. Idem quoque ex hisce Æschyli versibus intelligere licet.

Τοὶ δ' ἀνὰ γᾶν Ἀσίαν δὴν
Οὐκ ἔτι περσονομοῦνται,
Οὐκ ἔτι δασμοφοροῦσι
Δεσποσύνοισιν ἀνάγκαις,
Οὔτ' ἐς γᾶν προσπίτνοντες
Ἄρξονται· βασίλεια
Γὰρ διόλωλεν ἰσχύς.

Πέρσ. v. 587. et seq.

Plura Veterum loca, quæ huc faciant, congerere non opus est; cùm passim obvia sint.

b *Μηδὲ πιεῖν*] Eodem planè modo verbum hoc adhibet Evangelista Joh. iv. 7. *Λέγει αὐτῇ ὁ Ἰησοῦς· Δός μοι πιεῖν.*

c *Διαγάγετε*] Stephanus mavult *διάγετε*, ut in MSto etiam Bodl. legitur. Sed, non est in re ipsâ quicquam, quod vulgatam lectionem rejiciendam suadeat.

d *Ἐντίθεσθε*] MS. Bodl. dat *εὖ τίθεσθε*

μὲν δὴ Μῆδοι καὶ οἱ ἀμφὶ Τιγράνην [a] ἐλοῦντο (ἦν γὰρ παρεσκευασμένα,) καὶ ἱμάτια μεταλαβόντες ἐδείπνουν· καὶ οἱ ἵπποι αὐτῶν εἶχον τὰ ἐπιτήδεια· καὶ τοῖς Πέρσαις διέπεμπον τῶν ἄρτων ἑκάστοις τοὺς ἡμίσεις· ὄψον δὲ οὐκ ἔπεμπον οὐδὲ οἶνον, οἰόμενοι ἔχειν τοὺς ἀμφὶ Κῦρον, ὅτι ἔφη ἄφθονα ταῦτα ἔχειν. Ὁ δὲ Κῦρος ταῦτα ἔλεγεν, ὄψον μὲν τὸν λιμὸν, πιεῖν δ᾽ ἀπὸ τοῦ παραῤῥέοντος ποταμοῦ. Ὁ μὲν οὖν Κῦρος δειπνίσας τοὺς Πέρσας, ἐπειδὴ συνεσκότασε, κατὰ πεμπάδας καὶ κατὰ δεκάδας πολλοὺς αὐτῶν διέπεμπε· καὶ ἐκέλευσε κύκλῳ τοῦ στρατοπέδου κρύπτειν, νομίζων ἅμα μὲν φυλακὴν ἔσεσθαι, ἐάν τις ἔξωθεν προσίῃ, ἅμα δὲ, ἐάν τις ἔξω χρήματα φέρων ἀποδιδράσκῃ, ἁλώσεσθαι αὐτόν· καὶ ἐγένετο οὕτως· πολλοὶ μὲν γὰρ ἀπεδίδρασκον, πολλοὶ δὲ ἑάλωσαν. Ὁ δὲ Κῦρος τὰ μὲν χρήματα τοὺς λαβόντας εἴα ἔχειν, τοὺς δὲ ἀνθρώπους ἐκέλευσεν ἀποσφάξαι· ὥστε τοῦ λοιποῦ οὐδὲ βουλόμενος ἂν εὗρες ῥᾳδίως [b] τὸν νύκτωρ πορευόμενον. Οἱ μὲν δὴ Πέρσαι οὕτω διῆγον· οἱ δὲ Μῆδοι καὶ ἔπινον, καὶ εὐωχοῦντο, καὶ ηὐλοῦντο, καὶ πάσης εὐθυμίας ἐνεπίμπλαντο· πολλὰ γὰρ καὶ τοιαῦτα ἑάλω, ὥστε μὴ ἀπορεῖν ἔργου τοὺς ἐγρηγορότας.

dem Tigranísque milites lavabant (*omnia* enim parata erant,) mutatísque vestibus cœnabant: ipsorum etiam equi necessaria habebant: mittebántque Persis dimidiam panis partem singulis: at neque obsonium neque vinum miserunt, quòd Cyri milites hæc habere putarent, quia *is* horum ipsis affatim esse dixerat. Cyrus verò hæc dixerat, *Persis* famem esse pro obsonio, potum autem *qui* de præterfluente amne *hauriretur*. Et Cyrus quidem præbitâ Persis cœnâ, cùm tenebræ jam essent, complures eorum, quinos ac denos, dimittebat: eósque circum castra se occultare jussit, quippe qui existimaret simul custodiam *hoc modo* fore, si quis extrinsecùs accederet; simul futurum, ut si quis extra *castra* pecunias ferens aufugeret, caperetur: atque ità *quidem* accidit: nam et aufugiebant multi, et multi fuêre capti. Cyrus autem pecunias quidem eos tenere, qui *hos* cepissent, sinebat; homines verò interfici jussit: quo factum est, ut deinceps nè si cuperes quidem, quenquam noctu abeuntem reperisses. Et Persæ quidem hoc modo degebant: Medi verò et potebant, et epulabantur, et tibiarum cantu semet oblectabant, et omni hilaritate ad satietatem usque fruebantur: nam ejusmodi multa capta fuerant, ut vigilantibus, quod agerent, minimè deesset.

eandémque lectionem repræsentat edit. *Argentor.* quam *Philelphus* etiam secutus est. Huic tamen vulgatam præferendam censeo.

a Ἐλοῦντο] Inscitiâ librarii in MStum Bodl. irrepsit ἐλούοντο: quod à Xenophonte omninò amovendum docet *Phrynichus*: Λούομαι, ἐλουόμην, ἐλούοντο, &c. inquit, ἀδόκιμά ἐστι· εἰ δὲ δόκιμα βούλει αὐτὰ ποιῆσαι, τὸ ε καὶ τὸ ο ἀφαίρει, καὶ λέγε, λοῦμαι, λούμην, &c. οὕτω γὰρ οἱ ἀρχαῖοι λέγουσιν. Cui adstipulatur *Thomas Magister*: Λοῦμαι, πάντες οἱ Ἀττικοί.

b Τὸν νύκτωρ, &c.] Articulum hìc indefinitè usurpari constat, uti et ὁ apud Luc. x, 6: Καὶ ἐὰν μὲν ᾖ ἐκεῖ ὁ υἱὸς εἰρήνης, &c.

Ὁ δὲ Κυαξάρης ὁ τῶν Μήδων βασιλεὺς τὴν μὲν νύκτα ἐν ᾗ ἐξῆλθεν ὁ Κῦρος, αὐτός τε ἐμεθύσκετο μεθ' ὧν παρεσκήνου, ὡς ἐπ' εὐτυχίᾳ, καὶ τοὺς ἄλλους δὲ Μήδους ᾤετο παρεῖναι ἐν τῷ στρατοπέδῳ, πλὴν ὀλίγων, ἀκούων θόρυβον πολύν· οἱ γὰρ οἰκέται τῶν Μήδων, ἅτε τῶν δεσποτῶν ἀπεληλυθότων, ἀνειμένως καὶ ἔπινον καὶ ἐθορύβουν, ἄλλως τε καὶ ἐκ τοῦ Ἀσσυρίου στρατεύματος καὶ οἶνον καὶ ἄλλα πολλὰ τοιαῦτα εἰληφότες. Ἐπεὶ δὲ ἡμέρα ἐγένετο, καὶ [a] ἐπὶ θύρας οὐδεὶς ἧκε, πλὴν οἵπερ καὶ συνεδείπνουν, καὶ τὸ στρατόπεδον κενὸν ἤκουεν εἶναι τῶν Μήδων καὶ τῶν ἱππέων, ἑώρα δ', ἐπεὶ ἐξῆλθεν, οὕτως ἔχοντα· ἐνταῦθα δὴ ἐβριμοῦτο τε τῷ Κύρῳ καὶ τοῖς Μήδοις, τῷ καταλιπόντας αὐτὸν ἔρημον οἴχεσθαι· καὶ εὐθὺς, ὥσπερ λέγεται ὠμὸς εἶναι καὶ ἀγνώμων, κελεύει τῶν παρόντων τινὰ, λαβόντα τοὺς παρ' ἑαυτῷ ἱππέας, πορεύεσθαι ὡς τάχιστα πρὸς τὸ ἀμφὶ Κῦρον στράτευμα, καὶ λέγειν τάδε, Ὤμην μὲν ἔγωγε οὐδ' ἂν σὲ, ὦ Κῦρε, οὕτως ἀπρονοήτως περὶ ἐμοῦ βουλεύσεσθαι· εἰ δὲ Κῦρος οὕτω γιγνώσκοι, οὐκ ἂν ὑμᾶς γε, ὦ Μῆδοι, ἐθελῆσαι οὕτως ἔρημον ἐμὲ καταλιπεῖν. Καὶ νῦν, [b] ἐὰν μὲν Κῦρος βούληται· εἰ δὲ μὴ, ὑμεῖς γε τὴν τα-

Medorum verò rex Cyaxares, eâ nocte quâ Cyrus abierat, et ipse cum contubernalibus ebrius erat, veluti re benè gestâ, et Medos cæteros in castris, exceptis paucis, adesse putabat, quòd ingentem strepitum audiret: nam Medorum domestici, quippe quia domini discessissent, cum omni licentiâ potabant et tumultuabantur, præsertim quòd ab Assyriorum exercitu vinum et alia hujusmodi multa accepissent. Cùm autem illuxisset, atque ad portam nemo veniret præter eos qui cum ipso cœnati fuerant, audirétque castra Medis et equitibus èsse vacua, et egressus ipse rem ità se habere cerneret: tum verò et in Cyrum et in Medos irâ fremebat, quòd se relicto solo discessissent: statímque jubet, utì sanè crudelis et amens fuisse perhibetur, quendam ex iis qui aderant, equitibus suis *secum* sumptis, quàm celerrimè ad copias Cyrum secutas proficisci, atque hæc dicere, Ego sanè nè te quidem, Cyre, arbitrabar adeò imprudens consilium de me capturum fuisse: si tamen ea Cyri esset sententia, minimè vos saltem, Medi, voluisse sic me solum relinquere *putâram*. Jam verò, Cyrus si quidem volet, *veniat*: sin

a Ἐπὶ θύρας] *Porta* hìc et alibi sæpè apud Nostrum, more Orientalium, (apud quos hodie etiam sedes Imperatoris Turcici *Porta Ottomanica* appellatur) pro *Aulâ* sive *ipsâ Regiâ* videtur accipienda, quæ cum personâ principis in loca quævis, etiam in castra, migrat. Vide quæ hâc de re jam suprà notavimus, lib. 1. p. 16.

b Ἐὰν μὲν Κῦρος, &c.] Notandum hìc est σχῆμα ἀνανταπόδοτον, ut Grammatici vocant: cujus plura exempla suppeditabunt *Scholia*, et Cl. *Kusterus* in notis, ad *Aristoph. Plut.* v. 468. Eò autem magis ellipsin hanc Atticam notatam volumus, quòd ejus ope verba Evangelistæ Luc. xiii. 9. à pravâ *Knatchbulli* explicatione vindicare liceat. Verba sunt, Κἂν μὲν ποιήσῃ καρπόν· εἰ δὲ μή γε, &c. Ad quæ sic ille: "Κἂν "potest intelligi pro καὶ ἂν, et quidni τὸ ἂν "sit hoc loco δυνητικὸν, et perfecta sit ora-"tio absque *anantapodoto*, &c." Hanc deinde versionem subjungit: *Dimitte eam et hoc anno, usque dum fodero circa illam, et stercus misero, et poterit quidem fructum ferre, sin minùs*, &c. Sed, proculdubiò deest post καρπὸν apodosis, quam rectè

χίστην πάρεστι. Ταῦτα ἐπέστελλεν. Ὁ δὲ ταττόμενος πορεύεσθαι, ἔφη, Καὶ πῶς, ὦ δέσποτα, ἐγὼ εὑρήσω ἐκείνους; Πῶς δὲ Κῦρος, ἔφη, καὶ οἱ σὺν αὐτῷ, ἐφ' οὓς ἐπορεύοντο; Ὅτι νὴ Δί', ἔφη, ἀκούω ἀφεστηκότας τῶν πολεμίων Ὑρκανίους τινὰς, καὶ ἐλθόντας δεῦρο, οἴχεσθαι ἡγουμένους αὐτῶν. Ἀκούσας ταῦτα ὁ Κυαξάρης, πολὺ μᾶλλον ἔτι τῷ Κύρῳ [a] ὠργίζετο, μηδ' εἰπεῖν αὐτῷ ταῦτα· καὶ πολλῇ σπουδῇ μᾶλλον ἔπεμπεν ἐπὶ τοὺς Μήδους, ὡς ψιλώσων αὐτόν· καὶ ἰσχυρότερον ἔτι, ἢ πρόσθεν, τοῖς Μήδοις ἀπειλῶν [b] ἀπεκάλει· καὶ τῷ πεμπομένῳ δὲ ἠπείλησεν, εἰ μὴ ἰσχυρῶς ταῦτα ἀπαγγείλοι.

Ὁ μὲν δὴ πεμπόμενος ἐπορεύετο, ἔχων τοὺς ἑαυτοῦ ἱππέας ὡς ἑκατόν· ἀνιώμενος ὅτι καὶ αὐτὸς οὐκ ἐπορεύθη μετὰ τοῦ Κύρου. Ἐν δὲ τῇ ὁδῷ πορευόμενοι, διασχιζομένων ὁδῶν τρίβῳ τινὶ, ἐπλανῶντο· καὶ οὐ πρόσθεν ἀφίκοντο εἰς τὸ τοῦ Κύρου στράτευμα, πρὶν ἐντυχόντες [c] ἀποχωροῦσι τισὶ τῶν Ἀσσυρίων, ἠνάγκασαν

minùs, vos saltem quàm celerrimè adeste. Hæc mandata *ad Medos perferenda* dedit *nuntio*. Is autem qui proficisci jussus erat, Ego verò, domine, ait, quonam modo illos inveniam? Quonam, inquit *Cyaxares*, modo Cyrus istíque adeò qui eum secuti sunt, *illos invenerunt*, adversùs quos profecti sunt? Quoniam profectò, ait, quosdam Hyrcanios ab hostibus defecisse audio, cúmque huc venissent, duces se Cyri copiis præbentes ivisse. Hæc cùm audîsset Cyaxares, multò etiam magis Cyro succensebat, qui hæc ei non indicâsset; majoríque studio ad Medos mittebat, quò eum copiis nudaret: quin etiam gravioribus cum minis, quàm antea, Medos *ab eo* avocabat: eíque etiam qui missus erat minas intendit, si non hæc vehementer acritérque exponeret.

Et ille quidem qui missus erat, cum suis centum ferè equitibus, proficiscebatur: *id ipsum*, quod non et ipse cum Cyro discessisset, ægrè ferens. Cúmque iter pergerent, ac viæ semitâ quâdam tritâ dividerentur, oberrârunt; neque prius ad Cyri exercitum pervenêre, quàm in Assyrios quosdam

Beza aliique per ἀφήσεις aut ἔασον supplendam statuerunt.

a Ὠργίζετο, μηδ', &c.] Sic editi omnes: Stephanus mavult, τῷ μηδ' εἰπεῖν; quam in rem vetus quoddam citat exemplar. MS. Certè Bodl. exhibet τὸ μηδ', &c. quod scripturam, quam Stephanus laudat, amplectendam suadet: ut τῷ adverbialiter hic, pro διὰ τὸ, positum sit: atque id quidem facilè potuit excidere, cùm præcedens verbum in syllabam ejusdem soni desinat.

b Ἀπεκάλει] Vulgò ἐπεκάλει. Sed, quod vidit Leunclavius, omninò reponendum est ἀπεκάλει· quam lectionem disertè repræsentat MS. Bodl. et res ipsa postulat: nam infra paulò Cyrus Hyrcanium adlocutus, ait, Τοῦ δὲ Μήδου ἤκουσας ἀποκαλοῦντος τοὺς ἱππέας· rursus ibidem statim —— ὁ ἀποκαλῶν ὄντος ς, &c. Similiter in eâ, quam ad Cyaxarem mox missurus est, epistolâ; οὐ τὸν θέλοντα, ἀλλὰ πάντας ἀποκαλεῖς. Eódem verbo, in re non adeò dissimili, jam supra lib. 1. p. 45. usus est Noster: ἐπειδὴ δὲ ἤκουσεν (Cambyses) ἀνδρὸς ἤδη ἔργα διαπραττόμενον τὸν Κῦρον, ἀπεκάλει, &c.

c Ἀποχωροῦσι] Vocem hanc libri quidam non habent: quam Stephano etiam et Leunclavio immeritò suspectam video. Eam dant MS. Bodl. et editio *Eton.* quin et *Philelphus* agnoscit.

αὐτοὺς ἡγεῖσθαι· [a] καὶ οὕτως ἀφικοῦνται, τὰ πυρὰ καταϊδόντες, περὶ μέσας νύκτας. Ἐπεὶ δ' ἐγένοντο πρὸς τῷ στρατοπέδῳ, οἱ φύλακες, ὥσπερ εἰρημένον ἦν ὑπὸ Κύρου, οὐκ εἰσαφῆκαν αὐτοὺς πρὸ ἡμέρας. Ἐπεὶ δὲ ἡμέρα ὑπεφαίνετο, πρῶτον μὲν τοὺς [b] μάγους καλέσας ὁ Κῦρος, τὰ τοῖς θεοῖς νομιζόμενα ἐπὶ τοῖς τοιούτοις ἀγαθοῖς ἐξαιρεῖσθαι ἐκέλευσε. Καὶ οἱ μὲν ἀμφὶ ταῦτα εἶχον· ὁ δὲ, συγκαλέσας τοὺς ὁμοτίμους, εἶπεν, Ἄνδρες, ὁ μὲν θεὸς προφαίνει πολλὰ ἀγαθὰ, ἡμεῖς δὲ, ὦ Πέρσαι, ἐν τῷ παρόντι ὀλίγοι ἐσμὲν ὥστε ἐγκρατεῖς εἶναι αὐτῶν. Εἴτε γὰρ ὅσα ἂν κατεργαζώμεθα μὴ φυλάξομεν ταῦτα, πάλιν ἀλλότρια ἔσται· εἴτε καταλείψομέν τινας ἡμῶν αὐτῶν φύλακας ἐπὶ τοῖς ἐφ' ἡμῖν γιγνομένοις, αὐτίκα οὐδεμίαν ἔχοντες ἰσχὺν ἀναφανούμεθα. Δοκεῖ οὖν μοι ὡς τάχιστα ἰέναι τινὰ ὑμῶν εἰς Πέρσας, καὶ διδάσκειν ἅπερ ἐγὼ λέγω, καὶ κελεύειν ὡς τάχιστα πέμπειν στράτευμα, εἴπερ ἐπιθυμοῦσι Πέρσαι τὴν ἀρχὴν τῆς Ἀσίας καὶ τὴν κάρπωσιν γενέσθαι ἐφ' ἑαυτοῖς. Ἴθι μὲν οὖν, ἔφη, σὺ ὁ πρεσβύτατος, καὶ ἐλθὼν ταῦτα λέγε, καὶ ὅτι οὓς ἂν πέμπωσι στρατιώτας, ἐπειδὰν ἔλθωσι παρ' ἐμὲ, ἐμοὶ μελήσει περὶ τῆς τροφῆς αὐτῶν. Ἃ δ' ἔχομεν ἡμεῖς, ὁρᾷς μὲν αὐτὰ, κρύπτε δὲ τούτων

à castris digressos incidissent, atque eos ut sibi duces essent vi coëgissent: atque ità *demum*, conspectis ignibus, *eò*, circa mediam noctem, pervenerunt. Cùm verò ad castra accessissent, excubitores eos, quemadmodùm mandatum à Cyro fuerat, ante lucem non intromiserunt. Die verò jam illucescente, Cyrus primùm arcessitis magis, diis ea, quæ in more essent, ob res adeò prosperas, seligi jussit. Et ii quidem in his erant occupati: ille autem, convocatis iis qui ὁμότιμοι, appellantur, dixit, Multa bona, viri, deus nobis ostendit; at nos, Persæ, pauciores hoc tempore sumus, quàm ut illa nostrâ in potestate tenere possimus. Nam sive ea, quæcunque laboribus nostris adepti fuerimus, non conservabimus, rursùs erunt aliena; sive ex hostris quosdam ipsis custodes eorum quibus potiti sumus relinquamus, statim nullas nobis esse vires manifestum erit. Quamobrem mihi videtur, cuidam è vobis quam primùm in Persiam eundum esse, qui doceat ea quæ à me dicuntur, et exercitum quàm celerrimè mitti jubeat, si quidem Persæ et imperium et fructum Asiæ suam in potestatem venire cupiant. Ito ergò tu, qui natu maximus es, inquit, ac postquam eò veneris, hæc exponito; tum autem, mihi curæ futurum, ut militibus quos miserint, ubi ad me pervenerint, alimenta suppetant. Vides ipse quidem ea, quæ habemus,

a Καὶ οὕτως ἀφικνοῦνται] Leunclavius legit: καὶ οὗτοι δὴ ἀφικνοῦνται. Stephanus; καὶ οὗτοι δὴ ἀφικνοῦνται· nec aliter ferè editi alii. Nos autem lectionem MSti Bodl. recipiendam censuimus: quam *Leunclavius* etiam et *Philelphus*, in loco vertendo. secuti sunt.

a Μάγους καλέσας ὁ Κῦρος] Sic legit Stephanus; nec aliter dat MS. Bodl. ideóque ista, ὁ Κῦρος, minùs rectè Stephano suspecta, et ab aliis omissa, videntur. De *magis* infra paulò dicendi locus erit.

μηδέν· ὅ,τι δὲ τέτων ἐγὼ καλῶς καὶ νομίμως πέμπων εἰς Πέρσας ποιοίμην ἄν, τὰ μὲν πρὸς τὲς Θεὲς, τὸν πατέρα ἐρώτα· τὰ δὲ πρὸς τὸ κοινὸν, τὰς ἀρχάς. Πεμψάντων δὲ καὶ ὀπτῆρας ὧν πράττομεν, καὶ φραςῆρας ὧν ἐρωτῶμεν. Καὶ σὺ μὲν, ἔφη, συσκευάζε, καὶ τὸν λόχον προπομπὸν ἄγε.

Ἐκ τέτε δὲ καὶ τὲς Μήδες ἐκάλει, καὶ ἅμα ὁ τε Κυαξάρες ἄγγελος παρίςαται, καὶ ἐν πᾶσι τήν τε πρὸς τὸν Κῦρον ὀργὴν καὶ τὰς πρὸς τὲς Μήδες ἀπειλὰς αὐτε ἔλεγε· καὶ τέλος εἶπεν ὅτι ἀπιέναι Μήδες κελεύει, εἰ καὶ ὁ Κῦρος μένειν βέλεται. Οἱ μὲν δὴ Μῆδοι ἀκέσαντες τε ἀγγέλε ἐσίγησαν, ἀποροῦντες μὲν πῶς χρὴ καλεντος ἀπειθεῖν, φοβέμενοι δὲ πῶς ἀπειλεντι ὑπακέσειαν, ἄλλως τε καὶ εἰδότες τὴν ὠμότητα αὐτε. Ὁ δὲ Κῦρος εἶπεν, Ἀλλ' ἐγὼ, ὦ ἄγγελε καὶ Μῆδοι, ὐδὲν, ἔφη, [a] θαυμάζω εἰ Κυαξάρης πολλὲς μὲν πολεμίες τότ'

eorúmque nihil celato: ex quibus quidnam *potissimùm* in Persiam mittendo, ut par et legibus consentaneum est fecero, deos quod adtinet, patrem *meum;* quod rempublicam, magistratus, interroga. Etiam spectatores eorum quæ gerimus, et explicatores eorum de quibus interrogaturi sumus, *huc* mittant. Ac tu quidem, ait, ad iter te collectis rebus necessariis parato, manipulúmque, qui te deducat, tecum sumito.

Secundùm hæc Medos arcessit, cùm simul Cyaxaris nuntius adesset, et coram omnibus iram ejus adversùs Cyrum et minas adversùs Medos indicaret, tandémque diceret, mandare *Cyaxarem* ut Medi discederent, etiamsi Cyrus manere vellet. Et Medi quidem cùm hæc nuntii verba audîssent, silebant; tum consilii inopes quo pacto arcessenti non parerent, tum metuentes quemadmodùm minanti obtemperarent, præsertim quòd illius crudelitatem nôssent. Cyrus autem, Minimè miror equidem, ait, nuntie Medíque, Cyaxarem et de nobis et de seipso valdè timere, cùm multos id tem-

a θαυμάζω εἰ Κυαξάρης —— ὀκνεῖ] In minimas etiam particulas operam conferre non piget, cùm notatâ vi quâdam earum minùs ùsitatâ, vel lucis aliquantum sacro N. T. textui fœnerare, vel ab injuriâ eum vindicare liceat. His utrisque nominibus, notanda est potestas particulæ *εἰ*, post *θαυμάζειν* positæ: quæ quidem non *dubiam* hìc, ut aliàs ferè, sed *certam* admirationis causam indicat. Cyrus enim per nuntium certior jam factus erat, trepidare Cyaxarem; atque adeò paulò post dicit —— παύσεται φοβέμενος —— anteà igitur agnoverat Cyaxaris metum, quem mox cessaturum autumat. Nec alia hujusce voculæ, simili planè modo adhibitæ, vis est, Marc. xv. 44. Ὁ δὲ Πιλάτος ἐθαύμασεν εἰ ἤδη τέθνηκε· quæ verba Interpretes plerique vertunt —— *si* jam mortuus esset: quasi Josepho, Christum jam mortuum esse indicanti, minùs credidisset Pilatus. At neque ullam hunc Josephi fraudem timuisse, et Christum omninò mortuum esse credidisse, ex iis, quæ statim sequuntur, abundè constat. Nam Pilatus arcessito centurione, de eo quærit, *εἰ πάλαι ἀπέθανε.* Non ergò tanquam de *re ipsâ* dubitans quærit, *verane* sit an *falsa*, Christusne mortuus jam esset, annon; sed *rem* quasi *compertam certamque* habens, ejus solummodo *tempus* cognoscere cupit: *εἰ πάλαι ἀπέθανε.* Quod cùm quidam animadverterent, qui illud *εἰ*, ante *ἤδη τέθνηκε*, non nisi per *si* convertendum putârant, nè parum utique congruentia tradidisse videretur Evangelista, pro *πάλαι* substituere *ἤδη*, licentiâ non ferendâ, ausi sunt. Et hanc novam quidem lectionem malè expresserunt Versiones *Vulg. Fr.t. Rhem. Arab. Æthiop.* eandem etiam *Erasmus*, et post

ἰδὼν, ἡμᾶς δὲ ὐκ εἰδὼς ὅ,τι πράττομεν, ὀκνεῖ περί τε ἡμῶν καὶ περὶ ἑαυτȣ͂· ἐπειδὰν δὲ αἴσθηται πολλὰς μὲν τῶν πολεμίων ἀπολωλότας, πάντας δὲ ἀπεληλαμένȣς, πρῶτον μὲν παύσεται φοβȣ́μενος, [a] ἔπειτα γνώσεται ὅτι νῦν ἔρημος ȣ̓ γίγνεται, ἡνίκα οἱ φίλοι αὐτȣ͂ τȣ̀ς ἐκείνȣ ἐχθρȣ̀ς ἀπολλύȣσιν· Ἀλλὰ μὴν μέμψεώς γε πῶς ἐσμὲν ἄξιοι, εὖ τε ποιȣ͂ντες ἐκεῖνον, καὶ ȣ̓δὲ ταῦτα αὐτοματίσαντες; ἀλλ' ἐγὼ μὲν ἐκεῖνον ἔπεισα ἐᾶσαί με λαβόντα ὑμᾶς ἐξελθεῖν· ὑμεῖς δὲ ȣ̓χ ὡς ἐπιθυμȣ͂ντες τῆς ἐξόδȣ ἠρωτήσατε, εἰ ἐξίοιτε, καὶ νῦν δεῦρο ἥκετε· ἀλλ' ὑπ' ἐκείνȣ κελευσθέντες ἐξιέναι, ὅτῳ ὑμῶν μὴ ἀχθομένῳ εἴη. Καὶ ἡ ὀργὴ ȣ͂ν αὕτη σαφῶς οἶδ' ὅτι ὑπό τε τῶν ἀγαθῶν πεπαυθήσεται, καὶ σὺν τῷ φόβῳ λήγοντι ἄπεισι. Νῦν μὲν ȣ͂ν, ἔφη, σὺ ὦ ἄγγελε ἀνάπαυσαι, ἐπεὶ πεπόνηκας· [b] ἡμεῖς τε, ὦ Πέρσαι, ἐπεὶ καὶ προσδεχόμεθα πολεμίȣς ἤτοι μαχȣμένȣς γε ἢ πεισομένȣς πα-

poris hostes viderit, et quid nos agamus ignoret: verùm ubi senserit, complures hostium periise, fugatos universos, primùm metuere desinet, deindè agnoscet minimè se jam desertum esse, cùm amici hostes ipsius interimunt. At verò quonam modo reprehensione digni sumus, cùm de ipso benè promereamur, neque hæc quidem de nostrâ sententiâ temerè faciamus? sed ego illum suasi ut mihi permitteret, vobis adsumptis egredi: vos autem non ut cupidi profectionis, an exeundum esset, interrogâstis, atque ità jam huc pervenistis: at ab illo prodire jussi, si cui vestrûm grave non esset. Quapropter hæc ira, sat scio, secundis *hisce* rebus mitigabitur, et unà cum desinente metu abibit. Ac tu quidem modò, nuntie, quia labore defatigatus es, quietem capito: nos autem Persæ, quia sic hostes adfuturos expectamus, ut vel pugnent vel imperium accipiant, ordines quàm elegantissimè instruc-

eum *Beza*, probare videtur: testaturque ille sic in *Aldinâ* editione, consentiente *Hispaniensi*, atque item *Theophylacto*, legi. Quæ tamen lectio non aliundè nata esse videtur, quàm ex malè intellectâ locutione hâc ἐθαύμασεν εἰ, &c. quam cùm quidam pro *miratus est si jam*, &c. accepissent, et deindè perspexissent huic sententiæ τὸ πάλαι non congruere, in ἤδη illud temerè mutârunt. Quòd si phrasin illam θαυμάζειν εἰ, interpretandi rationem tenuerit aliquis, quam in vertendo loco hoc Xenophontéo secuti sumus, cuíque tum *Arabica* tum *Persica* favet Versio, (licèt in posteriori commatis parte utraque malè se dederit) et Interpretum errores evitare, et effrenam Librariorum audaciam nullo negotio retundere poterit.

a Ἔπειτα γνώσεται] De hoc loco Stephanus nonnihil solicitus videtur; quòd nempè hìc non occurrat particulæ δὲ quæ præcedenti μὲν respondeat. Sed exemplum hujus usûs particulæ μὲν extare cùm alibi, tum in principio celebris illius orationis περὶ στεφάνȣ, ipse Stephanus in *Thesauro* G. L. notavit. Et sunt hujusmodi quidem exempla adeò obvia, ut rem silentio præteriissem, nisi usum particulæ μὲν, cùm eam δὲ non excipiat, à Camerario in notis ad N. T. temerè damnatum vidissem. Is enim ad Act. iii. 21. locutionem οὐχ ἑλληνίζειν dicit, quòd non inferatur ad particulam μὲν, respondens huic particula, δὲ, vel similis alia. E mediâ tamen Græci sermonis consuetudine petitam esse, tum ex hoc loco Xenophontéo, tum aliis alibi innumeris constat.

b Ἡμεῖς] Vulgò, ὑμεῖς. Sed pronomen illud, quod reposuimus, loci ratio postulat; idque exhibet editio *Argentor.* et expresserunt interpretes.

ρέσεσθαι, ταχθῶμεν ὡς κάλλιστα· οὕτω γὰρ ὁρωμένους εἰκὸς πλέον προανύττειν ὧν χρήζομεν. Σὺ δ', ἔφη, ὁ τῶν Ὑρκανίων ἄρχων, ὑπόμεινον προστάξας τοῖς ἡγεμόσι τῶν σῶν στρατιωτῶν ἐξοπλίζειν αὐτούς. Ἐπεὶ δὲ ταῦτα ποιήσας ὁ Ὑρκάνιος προσῆλθε, λέγει ὁ Κῦρος, Ἐγὼ δ', ἔφη, ὦ Ὑρκάνιε, ἥδομαι αἰσθανόμενος ὅτι οὐ μόνον φιλίαν ἐπιδεικνύμενος πάρει, ἀλλὰ καὶ ξύνεσιν [a] φαίνῃ μοι ἔχειν. Καὶ νῦν ὅτι συμφέρει ἡμῖν τὰ αὐτὰ δῆλον· ἐμοί τε γὰρ πολέμιοι Ἀσσύριοι, σοί τε νῦν ἐχθίονές εἰσιν ἢ ἐμοί· οὕτως οὖν ἡμῖν ἀμφοτέροις βουλευτέον, ὅπως τῶν μὲν νῦν παρόντων μηδεὶς ἀποστατήσει ἡμῖν συμμάχων, ἄλλους δὲ, ἐὰν δυνώμεθα, προσληψόμεθα. Τοῦ δὲ Μήδου ἤκουσας ἀποκαλοῦντος τοὺς ἱππέας· εἰ δὲ οὗτοι ἀπίασι, πῶς ἡμεῖς μόνοι πεζοὶ μενοῦμεν; Οὕτως οὖν δεῖ ποιεῖν ἐμὲ καὶ σὲ, ὅπως ὁ ἀποκαλῶν οὗτος καὶ αὐτὸς μένειν βουλήσεται παρ' ἡμῖν. Σὺ μὲν οὖν σκηνὴν εὑρὼν, δὸς αὐτῷ, ὅπου κάλλιστα διάξει πάντα τὰ δέοντα ἔχων· ἐγὼ δ' αὖ πειράσομαι ἔργον τι αὐτῷ προστάξαι, ὅπερ ἥδιον πράξει ἢ ἄπεισι· καὶ διαλέγου δὲ αὐτῷ ὁπόσα ἐλπὶς [b] γενέσθαι ἀγαθὰ πᾶσι τοῖς φίλοις, ἢν τὰ δέοντα εὖ γένηται· ποιήσας μέντοι ταῦτα ἧκε πάλιν παρ' ἐμέ.

tos habeamus: nam ità si conspiciamur, fortasse citiùs ea sumus effecturi quæ desideramus. Tu verò princeps Hyrcaniorum, ait, *hìc* opperire militúmque tuorum ducibus impera, ut suos armis penitùs instruendos curent. Cùm autem his peractis Hyrcanius accessisset, inquit Cyrus, *In hoc* ego, Hyrcanie, delector, quod animadverto, te non solùm ità nobis adesse ut amicitiam re declares, sed etiam indicia mihi præbere perspicacis, quâ præditus es, prudentiæ. At nunc quidem nobis eadem conducere perspicuum est: nam et mihi sunt hostes Assyrii, et tibi jam infestiores sunt quàm mihi: quare sic nostrûm utrique consultandum est, ut eorum sociorum, qui jam nobis adsunt, nemo deficiat: et alios *quoque*, si possimus, *nobis* adjungamus. Audîsti verò Medum equites avocare; hi autem si discedant, quo pacto nos pedites soli manebimus? Sic igitur et mihi et tibi agendum est, ut hic ipse qui *Medos* avocat, nobiscum manere velit. Tu igitur repertum aliquod ei tabernaculum tradito, ubi commodissimè degat, et omnia, quibus opus fuerit, habeat; ego verò sum operam daturus, ut opus aliquod ei imperem, quod libentiùs suscepturus sit, quàm *hinc* abiturus: quin etiam cum ipso de bonis iis disserito, quæ spes sit amicis omnibus eventura, si benè gerantur ea quæ fieri oporteat: hæc verò ubi feceris, ad me redito. Ita-

a *Φαίνῃ μοι ἔχειν*] Rectè se habet hæc loquendi ratio, quam libri omnes præstant; nec est cur moremur Grammaticorum auctoritatem, qui, Stephano teste, *ἔχων*, non *ἔχειν* legendum hìc esse dicerent; quòd *φαίνεσθαι* participio semper jungi tradant. Nam exempla regulæ huic repugnantia passim occurrunt.

b *Γενέσθαι ἀγαθὰ*, &c.] Phrasis hæc, *γίνεσθαί τι*, sequente dativo personæ, pro *impetro*, *consequor*, &c. à *Grotio*, ad Joh. xv. 7. et *Camerone*, ad Matt. xviii. 19. Hebraismis N. T. perperàm adnumeratur.

Ὁ μὲν δὴ Ὑρκάνιος ᾤχετο τὸν Μῆδον ἐπὶ σκηνὴν ἄγων· ὁ δὲ εἰς Πέρσας ἰὼν, παρῆν συνεσκευασμένος· ὁ δὲ Κῦρος αὐτῷ ἐπέστειλε πρὸς μὲν Πέρσας λέγειν ἃ καὶ πρόσθεν ἐν τῷ λόγῳ δεδήλωται, Κυαξάρει δὲ ἀποδοῦναι τὰ γράμματα. Ἀναγνῶναι δὲ σοι, ἔφη, καὶ ἃ ἐπιστέλλω, βούλομαι· ἵνα εἰδὼς αὐτὰ ὁμολογῇς ἐάν τις σε πρὸς ταῦτα ἐρωτᾷ. Ἐνῆν δὲ τῇ ἐπιστολῇ τάδε·

" ΚΥΡΟΣ ΚΥΑΞΑΡΕΙ ΧΑΙΡΕΙΝ. Ἡμεῖς σε οὔτε ἔρημον κατελίπομεν, (οὐδεὶς γὰρ ὅταν τῶν ἐχθρῶν κρατῇ, τότε " τῶν φίλων ἔρημος γίνεται) οὐδὲ μὴν ἀποχωροῦντές γε ἀπὸ σοῦ " οἰόμεθα ἐν κινδύνῳ σε καθιστάναι· ἀλλ' ὅσῳ πλέον σοῦ ἀπέχομεν, τοσούτῳ πλείονά σοι τὴν ἀσφάλειαν ποιεῖν νομίζομεν· οὐ " γὰρ οἱ ἐγγύτατα τῶν φίλων καθήμενοι, μάλιστα τοῖς φίλοις " τὴν ἀσφάλειαν παρέχουσιν, ἀλλ' οἱ τοὺς ἐχθροὺς μήκιστον ἀπελαύνοντες, μᾶλλον τοὺς φίλους ἐν ἀκινδύνῳ καθιστᾶσι. Σκέψαι " δὲ καὶ οἵῳ ὄντι μοι περὶ σὲ, οἷος ὢν περὶ ἐμὲ, ἔπειτά μοι μέμφῃ. Ἐγὼ μέν γέ σοι ἤγαγον συμμάχους, οὐχ ὅσους σὺ ἔπεισας, ἀλλ' ὁπόσους ἐγὼ πλείστους ἐδυνάμην· σὺ δέ μοι ἔδωκας " μὲν ἐν τῇ φιλίᾳ ὄντι ὁπόσους πεῖσαι δυνηθείην· νῦν δ' ἐν τῇ " πολεμίᾳ ὄντος, οὐ τὸν θέλοντα, ἀλλὰ πάντας ἀποκαλεῖς. " Τοιγαροῦν τότε μὲν ᾤόμην ἀμφοτέροις ὑμῖν χάριν ὀφείλειν, " νῦν δὲ ἀναγκάζεις σοῦ μὲν ἐπιλαθέσθαι, τοῖς δ' ἀκολουθήσασι " πειρᾶσθαι πᾶσαν τὴν χάριν ἀποδιδόναι. Οὐ μέντοι ἔγωγε

que abiit Hyrcanius quidem ut Medum ad tabernaculum deduceret; et qui in Persiam profecturus erat, paratus aderat: ei Cyrus mandavit, ut Persis diceret quæ oratione superiori sunt indicata, Cyaxari verò literas redderet. Volo autem, ait, tibi recitare, quæ mea continet epistola: quò et scias ea et profitearis, si quis te de his interroget. Hæc autem epistolæ inerant:

" CYRUS CYAXARI SALUTEM. Nos neque te solum reliquimus, " (nemo enim tunc ab amicis destitutus est, cùm hostes *per eos* vincit) nec " verò propterea quod abs te discessimus in periculo te nos constituisse " arbitramur: sed quantò longiùs abs te absumus, tantò tibi nos plus securitatis præstare existimamus. Nam qui proxime amicos desident, non iis " maximè securitatem adferunt, sed qui hostes longissimè repellunt, ii potiùs " amicos extra periculum collocant. Considera verò qualem me cùm sis " erga te expertus, ipséque *vicissim* qualem erga me te præbeas, de me tandem quereris. Equidem auxilio qui tibi sint socios adduxi, non quot tu " *ut venirent* persuasisti, sed quàm ego plurimos potui: tu mihi, dum *adhuc* " amicâ in regione essem, tot concessisti, quot persuadendo, *me ut sequerentur*, adducere possem; et nunc cùm in hostili sim agro, non eos, qui " *redire* velim, sed universos avocas. Itaque tunc quidem arbitrabar me " vobis utrisque gratiam debere, at nunc me tui quidem oblivisci cogis, et " illis qui me secuti sunt omnem referre gratiam studere. Verùm *facere*

"σοὶ δύναμαι ὅμοιος γενέσθαι· ἀλλὰ καὶ νῦν πέμπων ἐπὶ "στράτευμα εἰς Πέρσας, ἐπιστέλλω, ὁπόσοι ἂν ἴωσιν ὡς ἐμὲ, "ἤν τι σὺ αὐτῶν δέῃ, [a] πρὶν ὡς ἡμᾶς ἐλθεῖν, σοὶ ὑπάρχειν, οὐχ "ὅπως ἂν ἐθέλωσιν, ἀλλ' ὅπως ἂν σὺ βούλῃ, χρῆσθαι αὐτοῖς. "Συμβουλεύω δέ σοι, καίπερ νεώτερος ὢν, μὴ ἀφαιρεῖσθαι ἃ ἂν "δῷς· ἵνα μή σοι ἔχθραι ἀντὶ χαρίτων ὀφείλωνται· μηδ' ὅταν "τινὰ βούλῃ πρός σε ταχὺ ἐλθεῖν, ἀπειλοῦντα μεταπέμπεσθαι· "μηδὲ φάσκοντα ἔρημον εἶναι, ἅμα πολλοῖς ἀπειλεῖν, ἵνα μὴ "διδάσκῃς αὐτοὺς σοῦ μὴ φροντίζειν. Ἡμεῖς δὲ πειρασόμεθα "παρεῖναι, ὅταν τάχιστα διαπραξώμεθα ἃ σοί τ' ἂν νομί-"ζωμεν καὶ ἡμῖν πραχθέντα κοινὰ γενέσθαι ἀγαθά. Ἔῤ-"ῥωσο."

Ταύτην αὐτῷ ἀπόδος, καὶ ὅ,τι ἄν σε τούτων ἐρωτᾷ, ᾗπερ γέγραπται, σύμφαθι. Καὶ γὰρ ἐγὼ ἐπιστέλλω σοι περὶ τῶν Περσῶν ᾗπερ γέγραπται. Τούτῳ μὲν οὖν οὕτως εἰπὼν, καὶ δοὺς τὴν ἐπιστολὴν, ἀπέπεμψε· προσεντειλάμενος οὕτω σπεύδειν, ὥσπερ οἶδεν ὅτι συμφέρει ταχὺ παρεῖναι.

Ἐκ τούτου δὴ ἑώρα μὲν ἐξωπλισμένους ἤδη πάντας καὶ τοὺς Ὑρκανίους, καὶ τοὺς ἀμφὶ Τιγράνην· καὶ οἱ Πέρσαι δὲ ἐξωπλισμένοι ἦσαν· ἤδη δέ τινες τῶν προσχώρων καὶ ἵππους ἀπήγαγον, καὶ ὅπλα ἔφερον· ὁ δὲ τὰ μὲν παλτὰ, ὅπου περ καὶ τοὺς πρόσ-

"non possum, ut tibi similis fiam: sed hoc ipso tempore copiarum causâ "misso in Persiam nuntio, mandatum dedi, ut quotquot ad me venturi sunt, "si eorum operâ tibi sit opus, antequam ad nos veniant, iis tibi sit potestas, "non ut ipsi voluerint, sed utì tu voles, utendi. Consilium autem tibi do, "quanquam ipse junior, nè quæ concesseris auferas; ut nè inimicitiæ tibi "gratiarum loco debeantur: nec minitabundus arcessas, cùm aliquem ad te "celeriter venire velis: nec simul te solum esse dixeris, et multis miniteris, "nè doceas eos nihili te facere. Nos autem ut adsimus operam dabimus, "ubi primùm ea confecerimus, quæ facta cùm fuerint et tibi et nobis ex "æquo fructuosa fore censemus. Vale."

Hanc ei *epistolam* reddito, et de quocunque horum te interrogârit, id ità se habere dicito, prout *in epistolâ* scriptum est. Nam et de Persis *itidem* tibi mando, prout scriptum est. Atque hunc quidem his verbis adlocutus, traditâ epistolâ, dimisit; adjecto mandato, ut ità festinaret, quemadmodùm expedire noverat celeriter utì adesset.

Secundùm hæc armatos jam omnes tam Hyrcanios quàm Tigranis milites spectabat: Persæ quoque armis erant instructi: jam etiam finitimi quidam *ei se dedentes* equos adducebant, et adferebant arma: *hos* ille palta eum in locum, ubi et cæteros anteà, jussit abjicere, eâque *illos* concremare,

a Πρὶν ὡς ἡμᾶς] In libris plerisque deest illud &c. quod tamen, Leunclavii conjecturam secuti, recepimus. Atque ità Stephanus etiam rectè scribi dicit.

θεν, καταβάλλειν ἐκέλευσε, καὶ κατακαίειν, οἷς τοῦτο ἔργον ἦν, ὁπόσων μὴ αὐτοὶ δέοιντο· τοὺς δὲ ἵππους ἐκέλευσε φυλάττειν μένοντας τοὺς ἀγαγόντας, ἕως ἄν τι σημανθείη αὐτοῖς· τοὺς δ' ἄρχοντας τῶν ἱππέων καὶ Ὑρκανίων καλέσας, τοιάδε ἔλεξεν·

"Ἄνδρες φίλοι καὶ σύμμαχοι, μὴ θαυμάζητε, ἔφη, ὅτι "πολλάκις ὑμᾶς συγκαλῶ· [a] καινὰ γὰρ ὄντα ἡμῖν τὰ παρόντα "πολλὰ αὐτῶν ἀσύντακτά ἐστιν· ἃ δ' ἂν ἀσύντακτα ᾖ, ἀνάγκη "ταῦτα ἀεὶ πράγματα παρέχειν, ἕως ἂν χώραν λάβῃ. Καὶ "νῦν ἔστι μὲν ἡμῖν πολλὰ τὰ αἰχμάλωτα χρήματα, καὶ ἄνδρες "ἐπ' αὐτοῖς· διὰ δὲ τὸ μήθ' ἡμᾶς εἰδέναι ποῖα τούτων ἑκάστου "ἐστὶν ἡμῶν, μήτε τούτους εἰδέναι ὅστις ἑκάστῳ αὐτῶν δεσπότης, πε- "ραίνοντας μὲν δὴ τὰ δέοντα οὐ πάνυ ἐστὶν ὁρᾷν αὐτῶν πολλοὺς, "ἀποροῦντας δὲ ὅ,τι χρὴ ποιεῖν, σχεδὸν πάντας· ἵνα οὖν μὴ "οὕτως ἔχῃ, διορίσατε αὐτά· καὶ ὅστις μὲν ἔλαβε σκηνὴν ἔχουσαν "ἱκανὰ καὶ σῖτα καὶ ποτὰ, καὶ τοὺς ὑπηρετήσοντας, καὶ στρωμ- "νὴν καὶ ἐσθῆτα, καὶ τἄλλ' οἷς οἰκεῖται σκηνὴ καλῶς στρατιω- "τικὴ, ἐνταῦθα μὲν οὐδὲν ἄλλο δεῖ προσγενέσθαι ἢ τὸν λαβόντα "εἰδέναι ὅτι τούτων, ὡς οἰκείων, ἐπιμελεῖσθαι δέοι· ὅστις δὲ εἰς "[b] ἐνδεόμενά τε κατεσκήνωσε, τούτους ὑμεῖς σκεψάμενοι, τὸ

quibus id negotii datum erat, ipsi quibus non egerent; equos autem ut illi *in castris* remanentes custodirent, qui *eos* adduxerant præcepit, donec aliquid eis significatum esset: et convocatis præfectis equitum et Hyrcaniorum, hujusmodi orationem habuit:

"Nè mirum vobis sit, amici et socii, inquit, quod vos sæpè convoco: "nam cùm res præsentes novæ sint, earum multæ ordine *adhuc* carent; "quæ verò ordinata non sunt, ea semper negotia facessere necesse est, donec "in *suum quæque* locum delata fuerint. Et multa jam sunt bona nobis "bello capta, et viri prætereà *qui in nostram potestatem venerunt*: quo- "niam verò neque scimus ipsi, quænam horum cujusque nôstrum sint, "neque hi novêre quis eorum cujusque sit dominus, *idcircò* non admodùm "multos quidem ex eis videre est officium facere, sed omnes ferè ambigere, "quid abs se fieri oporteat: quapropter ut nè hæc sit rerum nostrarum "ratio, *vos* ista *singulis quæ eis propria sint dividendo* discernite: et "cùm quidem tabernaculum aliquis adeptus est, satìs et esculentis instruc- "tum, et potulentis, et ministris, et stragulâ, et *aliâ* veste, rebúsque cæteris "quæ requiruntur ut in tabernaculo militari commodè degi possit, huc ut quid "aliud accedat non opus est, nisi ut is qui *illud* nactus est, sciat horum sibi "curam, tanquam suorum, gerendam esse: qui verò in ea divertit taberna- "cula quibus pleraque desunt, vos his inspectis, quod deest supplete.

a Καινὰ] Editio Stephani, contra librorum omnium fidem, dat κοινά, quod vitio forsan operarum contigit. Quanquam sanè loci ratio huic lectioni adeò non repugnat, ut ei omninò faveat: eámque adeò vulgatæ illi præferendam puto. Vide p. 215. l. 7.

b Ἐνδεόμενά τε] Stephanus scribendum conjicit ἐνδεόμενά τι, ut τι sit pro τινός. Sed vulgata lectio, quam libri omnes præ-

"ἐλλεῖπον ἐκπληρώσατε. Πολλὰ δὲ καὶ περιττὰ οἶδα ὅτι "ἔσαι· πλείω γὰρ ἅπαντα ἢ κατὰ τὸ ἡμέτερον πλῆθος εἶχον "οἱ πολέμιοι. Ἦλθον δὲ πρός με καὶ χρημάτων ταμίαι οἵ "τε τοῦ Ἀσσυρίων βασιλέως καὶ ἄλλων δυναςῶν, οἳ ἔλεγον ὅτι "χρυσίον εἴη παρὰ σφίσιν ἐπίσημον, δασμοὺς τινας λέγοντες· "καὶ ταῦτα οὖν κηρύττετε πάντα ἀποφέρειν πρὸς ὑμᾶς, ὅπου "ἂν καθέζησθε· καὶ φόβον ἐπιτίθεσθε τῷ μὴ ποιοῦντι τὸ πα-"ραγγελλόμενον· ὑμεῖς δὲ λαβόντες διαδίδοτε, ἱππεῖ μὲν τὸ "διπλοῦν, πεζῷ δὲ τὸ ἁπλοῦν· ἵνα ἔχητε, ἤν τινων προσδεηθῆτε, "καὶ ὅτου ὠνήσεσθε. ᵃΤὴν δ' ἀγορὰν τὴν οὖσαν ἐν τῷ ςρατοπέδῳ "ᵇκηρύξατε μὲν ἤδη, ἔφη, μὴ ἀδικεῖν μηδένα, πωλεῖν δὲ τοὺς "καπήλους καὶ ἐμπόρους ὅ,τι ἔχει ἕκαςος πράσιμον· καὶ ταῦτα "διαθεμένους, ἄλλα ἄγειν, ὅπως οἰκῆται ἡμῶν τὸ ςρατόπεδον." Καὶ ταῦτα μὲν εὐθὺς ἐκήρυττον· οἱ δὲ Μῆδοι καὶ Ὑρκάνιοι εἶπον ὧδε, Καὶ πῶς ἂν, ἔφασαν, ἡμεῖς ἄνευ σοῦ καὶ τῶν σῶν διανέμοιμεν ταῦτα; Ὁ δ' οὖν Κῦρος πρὸς τοῦτον τὸν λόγον ὧδε προσηνέχθη· "Ἦ γὰρ οὕτως, ἔφη, ὦ ἄνδρες, γιγνώσκετε, ὡς "ὅ,τι ἂν δεήσῃ πραχθῆναι, ἐπὶ πᾶσι πάντας ἡμᾶς δεήσει πα-"ρεῖναι, καὶ οὔτε ἐγὼ ἀρκέσω ὑμῖν πράττων πρὸ ὑμῶν ὅ,τι ἂν "δέῃ, οὔτε ὑμεῖς πρὸ ἡμῶν; Καὶ πῶς ἂν ἄλλως πλείω μὲν

"Multa etiam fore scio quæ supersint: nam hostibus omnia fuêre copiosi-"ora quàm pro multitudine nostrâ. Venerunt etiam ad me Assyriorum "regis aliorûmque dynastarum quæstores, qui apud se aurum signatum esse "dixerunt, de tributis quibusdam mentionem facientes: itaque per præco-"nem imperate, ut isthæc ad vos omnia deferant, ubicunque consederitis; "et terrorem ei incutite qui, quod imperatum est, non fecerit: vos autem "ea cùm acceperitis, duplum quidem equiti, pediti simplum distribuite; "ut habeatis, si quibus vobis prætereà opus fuerit, undè etiam *ea* emere "possitis. Forum verò castrense, inquit, præconis jam voce edicite, ut "nemo violet, ûtque caupones ac mercatores vendant merces quisque suas "venales; et has ubi vendiderint, alias advehant, quò castra nostra sint "frequentia." Et hæc illi quidem statim per præconem edicebant: Medi verò et Hyrcanii, Quo pacto nos, inquiunt, absque te ac tuis hæc distribuerimus? Cyrus autem hæc *ipsorum* verba ità excepit: "Eáne vestra, "viri, sententia est, inquit, ut quicquid *tandem nobis* agendum fuerit, rebus "omnibus nos omnes interesse oporteat; neque satìs ego facturus sim vobis, "agens pro vobis quod usus postulet, neque vos, pro nobis? Et quanam

stant, loco non movenda est, cum nihil sit in eâ vitii.

a Τὴν δ' ἀγορὰν, &c.] Vide sis quæ notavimus, lib. 2. p. 119.

b Κηρύξατε] Sic optimè MS. Bodl. et edit. *Eton*. Stephanus, Leunclavius, alii, dant κηρυξάτω. Sed loci ratio nostram scripturam, omninò flagitat: nam paulò ante dixerat, καὶ ταῦτα οὖν κηρύττετε ——— deindè, καὶ ταῦτα μὲν εὐθὺς ἐκήρυττον.

" πράγματα ἔχοιμεν, μείω δὲ διαπραττοίμεθα, ἢ οὕτως; Ἀλλ'
" ὁρᾶτε, ἔφη· ἡμεῖς μὲν γὰρ διεφυλάξαμεν ὑμῖν τάδε, καὶ
" ὑμεῖς ἡμῖν ἐπιστεύσατε καλῶς διαπεφυλάχθαι· ὑμεῖς δ' αὖ
" διανείματε, καὶ ἡμεῖς πιστεύσομεν ὑμῖν καλῶς διανενεμηκέ-
" ναι· καὶ ἐν ἄλλοις δὲ γε αὖ ἄλλο τι ἡμεῖς πειρασόμεθα κοι-
" νὸν ἀγαθὸν πράττειν. Ὁρᾶτε γὰρ δὴ, ἔφη, νυνὶ πρῶτον,
" ἵπποι ὅσοι ἡμῖν πάρεισιν, οἱ δὲ προσάγονται· τούτους ἂν εἰ
" μὲν ἐάσομεν ἀναμβάτους, ὠφελήσουσι μὲν οὐδὲν ἡμᾶς, πράγ-
" ματα δὲ παρέξουσιν ἐπιμελεῖσθαι· ἢν δ' ἱππέας ἐπ' αὐτοὺς
" καταστήσωμεν, ἅμα πραγμάτων τε ἀπαλλαγησόμεθα καὶ
" ἰσχὺν ἡμῖν αὐτοῖς προσθησόμεθα. Εἰ μὲν οὖν ἄλλους ἔχετε,
" οἷς τισιν ἂν δοίητε αὐτοὺς, μεθ' ὧν ἂν καὶ κινδυνεύοιτε ἥδιον
" (εἴ τι δέοι) ἢ μεθ' ἡμῶν, ἐκείνοις δίδοτε· εἰ μέντοι ἡμᾶς βού-
" λεσθε παραστάτας μάλιστα ἔχειν, ἡμῖν αὐτοῖς δότε. Καὶ
" γὰρ νῦν ὅτε ἄνευ ἡμῶν προσελάσαντες ἐκινδυνεύσατε, πολὺν
" μὲν φόβον ἡμῖν παρείχετε μή τι πάθητε, μάλα δὲ αἰσχύ-
" νεσθαι ἡμᾶς ἐποιήσατε ὅτι οὐ παρῆμεν ὅπου περ ὑμεῖς· ἢν
" δὲ λάβωμεν τοὺς ἵππους, ἑψόμεθα ὑμῖν· κἂν μὲν δοκῶμεν
" ὠφελεῖν πλείονα ἐπὶ τῶν ἵππων συναγωνιζόμενοι, οὕτω προθυ-
" μίας οὐδὲν ἐλλείψομεν· ἢν δὲ πεζοὶ γενόμενοι δοκῶμεν καιριω-
" τέρως ἂν παρεῖναι, τὸ καταβῆναι ἐν μέσῳ, καὶ εὐθὺς πεζοὶ
" ὑμῖν παρεσόμεθα· τοὺς δ' ἵππους μηχανησόμεθα οἷς ἂν παρα-

" aliâ ratione plus habituri simus negotii, et minus effecturi, quàm istâ?
" At videte, ait: nos enim hæc vobis custodivimus, et vos credidistis à
" nobis esse rectè custodita; vos verò vicissim distribuite, et nos credemus
" vobis, rectè vos distribuisse: ac nos rursùs aliis in rebus operam dabimus
" ut quiddam, in commune profuturum, peragamus. Videte enim, ait,
" nunc primùm quot nobis partim adsint equi, partim adducantur: hos
" utique ità si relinquemus ut nemo insideat, neque quidquam nobis prode-
" runt, et ob curam iis impendendam negotium nobis exhibebunt: sin equi-
" tes eis imponemus, eâdem operâ tum negotiis molestis liberabimur, tum
" virium nobis ipsis accessionem faciemus. Atqui si alii sunt, quibus eos
" detis, et quibuscum (si sit opus) pericula libentiùs adeatis, quàm nobis-
" cum, *nimirum* illis *eos* date: sin nos in primis auxiliarios qui vobis præ-
" stò sint habere vultis, nobis *eos* date. Etenim modò cùm *ad hostes*
" absque nobis provecti, prælii discrimen adiretis, magnum nobis metum
" injecistis, nè quid adversi vobis accideret; atque etiam magnum nobis
" pudorem incussistis, quòd ibi non adessemus, ubi vos *aderatis*: verùm
" si equos accipiemus, secuturi vos sumus; ac si quidem unà *vobiscum* ex
" equis pugnantes majori usui esse videbimur, cùm ità se res habet, facie-
" mus ut alacritatem nostram minimè desideretis: sin pedites cùm fuerimus
" opportuniùs vobis adfuturi videamur, proclive fuerit descendere, statim-
" que *adeò* vobis pedites aderimus; equos autem quibus tradamus, excogi-

"διδοίημεν." Ὁ μὲν οὕτως ἔλεξεν· οἱ δὲ ἀπεκρίναντο, Ἀλλ' ἡμεῖς μὲν, ὦ Κῦρε, οὔτε ἄνδρας ἔχομεν οὓς ἀναβιβάσαιμεν ἂν ἐπὶ τοὺς ἵππους τούτους, οὔτε, εἰ ἔχοιμεν, σοῦ ταῦτα βουλομένου οὐκ ἂν ἄλλο ἀντὶ τούτων αἱροίμεθα. Καὶ νῦν, ἔφασαν, λαβὼν τοὺς ἵππους, ποίει ὅπως ἄριστον δοκεῖ σοι εἶναι. Ἀλλὰ δέχομαί τε, ἔφη, καὶ ἀγαθῇ τύχῃ ἡμεῖς τε ἱππεῖς γενοίμεθα, καὶ ὑμεῖς διέλοιτε τὰ κοινά. Πρῶτον μὲν οὖν, ἔφη, τοῖς θεοῖς ἐξαιρεῖτε ὅ,τι ἂν [a] οἱ μάγοι ἐξηγῶνται· ἔπειτα δὲ Κυαξάρει ἐξέλετε ὁποῖ' ἂν οἴησθε αὐτῷ μάλιστα χαρίζεσθαι. Καὶ οἱ γελάσαντες εἶπον ὅτι γυναῖκας ἂν καλὰς [b] ἐξαιρετέον εἴη. Γυναῖκάς τε τοίνυν ἐξαιρεῖτε, ἔφη, καὶ ὅ,τι ἄλλο ἂν δοκῇ ὑμῖν. Ἐπειδὰν δὲ ἐκείνῳ ἐξέλητε, ὦ Ὑρκάνιοι, τοὺς ἐμοὶ ἐθελουσίους τούτους ἐπισπομένους πάντας ἀμέμπτους ποιεῖτε εἰς δύναμιν. Ὑμεῖς δ' αὖ, ὦ Μῆδοι, τοὺς πρώτους συμμάχους γενομένους τούτους τιμᾶτε, ὅπως εὖ βεβουλεῦσθαι ἡγήσωνται ἡμῖν φίλοι γενόμενοι. Νείματε δὲ πάντων τὸ μέρος καὶ τῷ παρὰ Κυαξάρους ἥκοντι

"tabimus." *Cyrus* in hunc modum locutus est: illi autem responderunt, At nos Cyre, neque viros habemus, quos equis hisce imponamus, neque, si haberemus, cùm tu hæc velis, aliud iis *quæ velles* præferremus. Atque adeò nunc, inquiunt, equos accipe, et quod tibi optimum factu videtur facito. Ego verò accipio, inquit, adeóque nos, quod felix faustúmque sit, efficiamur equites; et vos, quæ communia sunt, dividatis. Ac primùm quidem, ait, diis secernite quodcunque magi *secernendum* præscripserint; deindè Cyaxari seligite, quæ quòd selegeritis maximè rem gratam vos ipsi facturos arbitramini. Et illi risu facto, mulieres formosas *huic* deligendas aiebant. Ergò et mulieres, inquit, deligite, et quidquid aliud vobis visum fuerit. Postea verò quàm illi selegeritis, Hyrcanii, facite, quantum potestis, ut omnes hi Medi, qui me ultrò sequuti sunt, nihil habeant quod querantur. Et vos item, Medi, primos hosce socios nostros honoribus præmiisque ornate, quò rectè se consuluisse rebus suis existiment, cùm nostræ se amicitiæ adjungerent. Etiam de omnibus partem nuntio tribuite qui à Cyaxare

a Οἱ μάγοι ἐξηγῶνται] Hesychius ad vocem Μάγον. Τὸν θεοσεβῆ, καὶ θεολόγον, καὶ ἱερέα οἱ Πέρσαι οὕτως λέγουσι. Suidas itidem, φιλοσόφους καὶ φιλοθέους eo nomine apud Persas appellari tradit. Magi nempe circa Deorum cultum potissimùm erant occupati; regem populumque, quo Deus quisque ritu colendus erat, quæque dona singulis erant tribuenda, docebant. Et cùm munus hoc obirent, ἐξηγεῖσθαι dicebantur, pro ἐμφατικωτέρᾳ verbi hujus significatione, quâ (ut in *Scholiis* ad *Elect.* Sophoc. v. 427. exponitur διασάφησιν θείων indicat. Emphasis autem ea, quâ verbum hoc potissimùm notat, *Sacra docere, mysteria enarrare*, ei satis commodè tribui possit, Joh. i. 18, Θεὸν οὐδεὶς ἑώρακε πώποτε· ὁ μονογενὴς υἱὸς, ὁ ὢν εἰς τὸν κόλπον τοῦ πατρὸς, ἐκεῖνος ἐξηγήσατο.

b Ἐξαιρετέον εἴη] Stephanus et Leunclavius exibent ἐξαιρετέον ἂν εἴη. Utrumque tamen mediam voculam improbâsse, ex notâ ei affixâ liquet. Particulâ sanè istâ, bis hoc in loco positâ, minimè opus est: libens itaque MStum Bodl. et editionem *Eton.* secutus sum, in quibus ἂν ante εἴη non comparet.

ἀγγέλῳ, αὐτῷ τε καὶ τοῖς μετ᾽ αὐτȣ̃· καὶ συνδιαμένειν δὲ παρακαλεῖτε, ὡς καὶ ἐμοὶ τȣ̃το συνδοκȣ̃ν· ἵνα καὶ Κυαξάρει μᾶλλον εἰδὼς περὶ ἑκάςȣ ἀπαγγείλῃ τὰ ὄντα. Πέρσαις δ᾽, ἔφη, τοῖς μετ᾽ ἐμȣ̃, ὅσα ἂν περιττὰ γένηται, ὑμῶν καλῶς κατεσκευασμένων, ταῦτα ἀρκέσει· καὶ γὰρ, ἔφη, μάλα πως ἡμεῖς ἐκ ἐν χλιδῇ τεθράμμεθα, ἀλλὰ χωριτικῶς· ὥςε ἴσως ἂν ἡμῶν καταγελῴητε, εἴ τι σεμνὸν ἡμῖν περιτεθείη· ὥςπερ, ἔφη, οἶδα ὅτι πολὺν γέλωτα ὑμῖν παρέξομεν καὶ ἐπὶ τῶν ἵππων καθήμενοι· οἶμαι δὲ, ἔφη, καὶ ἐπὶ τῆς γῆς καταπίπτοντες.

Ἐκ τȣ́τȣ οἱ μὲν ἤεσαν ἐπὶ τὴν διαίρεσιν, μάλα ἐπὶ τῷ ἱππικῷ γελῶντες· ὁ δὲ τȣ̀ς ταξιάρχȣς καλέσας, ἐκέλευε τȣ̀ς ἵππȣς λαμβάνειν; καὶ τὰ τῶν ἵππων σκεύη, καὶ τȣ̀ς ἱπποκόμȣς, καὶ ἀριθμήσαντας λαβεῖν κληρωσαμένȣς εἰς τάξιν ἴσȣς ἑκάςοις. Αὐτὸς δὲ ὁ Κῦρος ἀνειπεῖν ἐκέλευσεν, εἴ τις εἴη ἐν τῷ Ἀσσυρίων ἢ Σύρων ἢ Ἀραβίων ςρατεύματι ἀνὴρ δȣ̃λος, ἢ Μήδων, ἢ Περσῶν, ἢ Βακτριανῶν, ἢ Καρῶν, ἢ Κιλίκων, ἢ Ἑλλήνων, ἢ ἄλλοθέν ποθεν βεβιασμένος, ἐκφαίνεσθαι. Οἱ δ᾽ ἀκȣ́σαντες τȣ̃ κηρύγματος, ἄσμενοι πολλοὶ προςεφάνησαν· ὁ δὲ, ἐκλεξάμενος αὐτῶν τȣ̀ς τὰ εἴδη [a] βελτίςȣς, ἔλεγεν ὅτι ἐλευθέρȣς αὐτȣ̀ς ὄντας δεήσει ὅπλα ὑποφέρειν ἃ ἂν αὐτοῖς δίδωσι· τὰ δὲ ἐπιτήδεια ὅπως ἂν ἔχω-

venit, tum ipsi, tum iis quos secum habet: atque etiam hunc obsecrate ut nobiscum maneat, id quod et mihi simul probari *dicite:* ut cùm rectiùs singula intellexerit, vera Cyaxari renuntiare possit. Persis autem, ait, qui mecum sunt, quæcunque vobis præclarè instructis supersint, ea sufficient quippe nos, inquit, in deliciis non admodùm educati sumus, sed *duriter ac* rusticorum *fermè* more: itaque nos fortassis etiam irrisissetis, si quid splendidius nobis adtribueretur: sicuti futurum scio, inquit, ut equis insidentes multum vobis risum moveamus; et *fortassis*, ut arbitror, ait, etiam in terram decidentes.

Secundùm hæc illi ad *prædæ* divisionem accessêre, de equitatu hoc admodùm ridentes: et *Cyrus* arcessitis cohortium præfectis præcepit equos utì reciperent, et instrumenta equestria, cum equisonibus; et numero *quidem* inito eos acciperent, pares *videlicet militum* singulorum numero, qui sortitò cohorti cuique obvenirent. Ipse etiam Cyrus per præconem pronuntiari jussit, ut si quod in Assyriorum, aut Syrorum, aut Arabum exercitu mancipium esset, vel è Mediâ, vel Persâ, vel *terrâ* Bactrianâ, vel Criâ, vel Ciliciâ, vel Græciâ, vel aliundè vi abductum, se conspiciendum exhiberet. Hoc autem audito præconio, multi se libenter in conspectum dedêre: et ille, cùm ex eorum numero selegisset, qui formâ præstabant, iis, liberi cùm jam essent, arma esse gestanda dixit, quæ ipsis daturus erat: sibi autem curæ

a Βελτίςȣς] Ità Leunclavius et MS. Bodl. Stephanus autem et alii dant καλλίςȣς. Parum refert, utro modo legas. Hoc tamen mihi quidem videtur à Librario quodam profectum, qui τὰ εἴδη βελτίςȣς, per καλλίςȣς, interpretari voluit.

σιν, ἔφη αὐτῷ μελήσειν. Καὶ εὐθὺς ἄγων πρὸς τοὺς ταξιάρχους, συνέστησεν αὐτούς· καὶ ἐκέλευσε τὰ γέῤῥα καὶ τὰς [a] ψιλὰς μαχαίρας τούτοις διδόναι, ὅπως ἔχοντες σὺν τοῖς ἵπποις ἕπωνται, καὶ τὰ ἐπιτήδεια τούτοις ὥσπερ καὶ τοῖς μεθ' ἑαυτοῦ Πέρσαις λαμβάνειν· αὐτοὺς δὲ, τοὺς θώρακας καὶ τὰ ξυστὰ ἔχοντας, ἀεὶ ἐπὶ τῶν ἵππων ὀχεῖσθαι· καὶ αὐτὸς οὕτω ποιῶν κατῆρχεν· ἐπὶ δὲ τοὺς πεζοὺς τῶν ὁμοτίμων ἀνθ' [b] ἑαυτοῦ ἕκαστον καθιστάναι ἄλλον ἄρχοντα τῶν ὁμοτίμων.

Οἱ μὲν δὴ ἀμφὶ ταῦτα εἶχον. Γωβρύας δ' ἐν τούτῳ παρῆν ὁ Ἀσσύριος, πρεσβύτης ἀνὴρ, ἐφ' ἵππου, σὺν ἱππικῇ θεραπείᾳ· εἶχον δὲ πάντες τὰ ἐφ' ἵππων ὅπλα. Καὶ οἱ μὲν ἐπὶ τῷ τὰ ὅπλα παραλαμβάνειν τεταγμένοι ἐκέλευον παραδιδόναι τὰ ξυστὰ, ὅπως κατακαίοιεν ὥσπερ καὶ τἄλλα. Ὁ δὲ Γωβρύας εἶπεν ὅτι Κῦρον πρῶτον βούλοιτο ἰδεῖν· καὶ οἱ ὑπηρέται τοὺς μὲν ἄλλους ἱππέας αὐτοῦ κατέλιπον, τὸν δὲ Γωβρύαν ἄγουσι πρὸς τὸν Κῦρον. Ὁ δὲ, ὡς εἶδε τὸν Κῦρον, ἔλεξεν ὧδε. "Ὦ δέσ-
"ποτα, ἐγω εἰμι τὸ μὲν γένος Ἀσσύριος· ἔχω δὲ καὶ τεῖχος
"ἰσχυρὸν, καὶ χώρας ἐπάρχω πολλῆς· καὶ ἵππον εἰς χιλίαν τῷ
"[c] τῶν Ἀσσυρίων βασιλεῖ παρειχόμην, καὶ φίλος ἦν ἐκείνῳ ὡς
"μάλιστα· ἐπεὶ δὲ ἐκεῖνος μὲν τέθνηκεν ὑφ' ὑμῶν, ἀνὴρ ἀγαθὸς

futurum aiebat, res utì necessarias haberent. Simul eos ad præfectos cohortium deducens, *iisdem* commendavit; et præcepit, ut scuta ac gladios exiles, eis darent, his ut instucti equitatum sequerentur; atque ut pro iisdem commeatum, perinde ac pro Persis suis, acciperent: ipsi verò *cohortium præfecti* loricis hastilibúsque instructi semper equis veherentur; atque ipse primùm hoc facere orsus est: ac singuli suo loco præfectum alium ex ordine ὁμοτίμων, peditibus qui de numero *itidem* ὁμοτίμων erant constituerent.

Et in his quidem rebus cùm illi occupati essent, intereà Gobryas Assyrius, senex, equo vectus, cum equestri famulatu aderat: gestabant autem omnes arma equestria. Et illi quidem quibus datum hoc erat negotii ut arma reciperent, eòs hastilia tradere jubebant, ut ea perinde atque *arma* cætera comburerent. Gobryas autem, velle se primùm videre Cyrum, ait: itaque ministri cæteros quidem ipsius equites reliquerunt, et ad Cyrum Gobryam deducunt. Is ubi Cyrum conspexit, his verbis usus est: "Equi-
"dem, domine, natìone sum Assyrius; et castellum munitum habeo, et
"regioni amplæ dominor; et equos circiter mille regi Assyriorum exhibere
"solebam, et illi *quidem* carus eram, ut qui maximè: sed quando inter-

a Ψιλὰς μαχαίρας] Scilicet, *copidas*: nam de his ipsis equitibus, utì notavit Leunclavius, in libro 5. mentionem faciens, scuta iis et copidas tribuit.

b Ἀνθ' ἑαυτοῦ ἕκαστον] Vox ultima in plerisque libris deest; quam tamen Stephanus et Leunclavius, sive conjecturâ sive veteris alicujus exemplaris auctoritate freti, rectè reposuisse videntur. Eam enim loci ratio postulat, et *Philelphus* etiam in versione suâ agnoscit: *ut pro se quisque alium*, &c.

c Τῶν Ἀσσυρίων βασιλεῖ] Scil. *Neriglissoro*: de quo vide sis, p. 171.

"ὢν, ὁ δὲ [a]παῖς ἐκείνου τὴν ἀρχὴν ἔχει, ἔχθιστος ὢν ἐμοὶ, ἥκω "πρός σε, καὶ ἱκέτης προσπίπτω· καὶ δίδωμί σοι ἐμαυτὸν δοῦλον "καὶ σύμμαχον, σὲ δὲ τιμωρὸν αἰτοῦμαί μοι γενέσθαι· καὶ παῖ- "δα οὕτως ὡς δυνατὸν σὲ ποιοῦμαι. Ἄπαις δέ εἰμι ἀῤῥένων "παίδων. Ὃς γὰρ ἦν μοι μόνος καλὸς, ὦ δέσποτα, καὶ ἀγα- "θὸς, καὶ ἐμὲ φιλῶν καὶ τιμῶν ὥσπερ ἂν εὐδαίμονα πατέρα "παῖς τιμῶν τιθείη, [b]τοῦτον ὁ νυνὶ βασιλεὺς οὗτος, καλέσαν- "τος τοῦ τότε βασιλέως, πατρὸς δὲ τοῦ νῦν, ὡς δώσοντος τὴν "θυγατέρα τῷ ἐμῷ παιδί· (ἐγὼ μὲν ἀπεπεμψάμην, μέγα "φρονῶν ὅτι δῆθεν τῆς βασιλέως θυγατρὸς ὀψοίμην τὸν ἐμὸν "υἱὸν γαμέτην) ὁ δὲ νῦν βασιλεὺς ἐπὶ θήραν αὐτὸν παρακα- "λέσας, καὶ ἀνεὶς αὐτῷ θηρᾷν ἀνὰ κράτος, ὡς πολὺ κρείσσων "αὐτοῦ ἱππεὺς ἡγούμενος εἶναι· ὁ μὲν ὡς φίλῳ συνεθήρα· φα- "νείσης δ' ἄρκτου, διώκοντες ἀμφότεροι, ὁ μὲν νῦν ἄρχων οὗτος

"fectus ille à vobis erat, vir *sanè fortis et* bonus, illiúsque filius rerum "modò potitur, inimicissimus mihi, ad te venio, et ad genua tibi supplex "accido: tradóque me tibi servum et belli socium, ac te rogo ut me ulcis- "caris; téque pro eo ac possum filium *mihi* adopto. Nam ulla mihi est "*jam* proles mascula. Quem enim solum habebam *filium*, formâ, domine, "et virtute præstantem, et amantem mei et eum honorem mihi deferentem, "quo filius patrem persequendo beare possit, hunc rex ille *qui* nunc *Assy- "riæ dominatur*, arcessitum ab illius temporis rege, hujus patre, ut qui "vellet filio meo filiam suam *uxorem* dare; (atque ego quidem *eum* ità "dimittebam, ut elato essem animo, qui nimirum filium meum regis filiæ "maritum visurus essem) hunc, *inquam*, rex iste *rerum* qui nunc *potitur*, "ad venationem invitavit, et potestatem ei fecit venandi totis viribus, quòd "longè se illo meliorem equitem duceret; itaque venatus est cum eo tan- "quam amico: cúmque in conspectum prodiisset ursa, et uterque hanc "insequeretur, iste modò princeps emisso jaculo aberravit; (quod utinam

a Παῖς ἐκείνου] Scilicet *Laborosoarchodus*: qui *Nereglissoro* patri succedens novem menses regnavit. Hunc, anno M. 3449. Jul. Per. 4159. ante æram Christianam 555. ob morum improbitatem interemtum excepit *Nebuchadnesaris* ex filio *Evilmerodacho* nepos, Beroso (teste *Josepho* contra *Apio.* l. 1. p. 1344.) *Nabonnidus*; Herodoto, lib. 1. c. 77. *Labynetus*; Abydeno (auctore *Euseb.* in Præp. Evang. lib. 9. c. 41.) *Nabannidochus*; Danieli prophetæ, c. v. *Belshazar* sive *Baltasar* dictus.

b Τοῦτον ὁ νυνὶ βασιλεὺς, &c.] Cruentam filii unici, dulcissimo ingenio præditi, cædem, Gobryæ, patris amantissimi, animus meminisse horret. Interrupta ejus aliquamdiu pendet oratio; tristéque quoddam, et miserum, et calamitati modò acceptæ consentaneum dicendi genus exhibet. Verbum, à quo periodi membrum hoc regatur, non nisi post *hyperbaton* paulò longius, ei redditum videmus Ideóque neutiquam ægrè ferendum est, quod συνεζωοποίησε in ipso statim exordio capitis 2. epist. ad *Ephes.* non occurrat, sed quinto demum addatur commate: cujus *hyperbati* causa non tam in scribendi imperitiam, quàm in vehementiam Spiritûs Apostolici referenda est; quo compulsus est Paulus multa interponere, priusquàm ad exponendum verbum, à quo periodi pendebat initium, perveniret. Confer etiam Act. i. ubi ——— ἕνα τούτων, quibus clauditur comma 22. respiciunt τῶν συνελθόντων ἡμῖν ἀνδρῶν —— in principio commatis 21. necnon Act. ii. 22. et 2 Cor. ix. ab 8. ad 11. comma.

"simul hostibus, si deus volet, ostendemus, illic alios ipsis esse potiores, ubi "se superiores evasisse censent: atque etiam *efficiemus*, ut nè locum qui-"dem illum libenter intueantur, nostros ubi socios interemerunt: sin adversi "non prodierint, incendemus eorum vicos, agrúmque populabimur; nè "lætitiam ex conspectu eorum, quæ in nos patrârunt, capiant; sed intuen-"tes mala propria mœrore adficiantur. Itaque vos, inquit, alii pransum "ite: vos autem Cadusii, primùm hinc digressi, more vestro vobis aliquem "ipsis in principem eligite, qui cum diis ac nobis vestrî curam gerat, ubi-"cunque opus fuerit: *hunc* ubi delegeritis ac pransi fueritis, delectum ad "me mittite." Atque hæc illi fecerunt: Cyrus autem postquam copias eduxisset, suúmque illi, qui à Cadusiis fuerat delectus, in acie locum tribuisset, jussit *eum* propter se *suorum* aciem ducere, Quò illorum, inquit, si quidem poterimus, rursum excitemus animos. Atque ità *quidem* proficiscebantur: cúmque *ad locum* pervenissent et Caducios sepeliebant, et agrum populabantur. His rebus confectis, commeatum ex hostico secum ferentes, in *regionem* Gadatæ reversi sunt.

Cùm autem ad animum *Cyro* accidisset, futurum, ut qui ad se defecerant,

a Καὶ ὅπως, &c.] Est ἔλλειψις Ἀττική· et subaudiendum videtur πράξομεν, vel aliud verbum simile. Adverbium autem illud jam supra lib. 1. p. 25. et lib. 5. p. 242 (ubi ὅρα, σκόπει vel μελέτω σοι subintelligi oportet) et alibi passim ἐλλειπτικῶς usurpatum videre est.

b Καύσωμεν, &c.] Sic in libris hactenus vulgatis scribitur: MS. autem Bodl. repræsentat καύσομεν —— καὶ δῃώσομεν, quod mihi quidem magis arridet.

Βαβυλῶνος, κακῶς πείσονται, ἂν μὴ αὐτὸς αἰεὶ παρῇ, ὕτως ὅσυς τε τῶν πολεμίων ἀφίη, καὶ τύτυς ἐκέλευε λέγειν τῷ Ἀσσυρίῳ, καὶ αὐτὸς κήρυκα ἔπεμψε πρὸς αὐτὸν λέγοντα ταῦτα, ὅτι ἕτοιμος εἴη ἐᾷν τὺς ἐργαζομένυς τὴν γῆν, καὶ μὴ ἀδικεῖν, εἰ καὶ ἐκεῖνος βύλοιτο ἐᾷν ἐργάζεσθαι τὺς τῶν πρὸς αὐτὸν ἀφεστηκότων ἐργάτας. Καίτοι, ἔφη, σὺ μὲν, ἢν καὶ δύνῃ κωλύειν, ὀλίγυς τινὰς κωλύσεις· (ὀλίγη γὰρ ἐςι γῆ ἡ τῶν πρὸς ἐμὲ ἀφεςηκότων) ἐγὼ δὲ πολλήν ἂν σοι γῆν ἐῴην ἐνεργὸν εἶναι. Εἰς δὲ τὴν τῦ καρπῦ κομιδὴν, ἢν μὲν πόλεμος ᾖ, ὁ κρατῶν μὲν, οἶμαι, κομίσεται· ἢν δὲ εἰρήνη γένηται, δηλονότι σὺ, ἔφη. Ἢν μέντοι τὶς ἢ τῶν ἐμῶν ὅπλα ἀνταίρηταί σοι, ἢ τῶν σῶν ἐμοὶ, τύτυς, ἔφη, ὡς ἂν δυνώμεθα, ἑκάτεροι ἀμυνύμεθα. Ταῦτα ἐπιςείλας τῷ κήρυκι ἀπέπεμψεν. Οἱ δὲ Ἀσσύριοι, ἐπεὶ ἤκυσαν ταῦτα, πάντα ἐποίυν πείθοντες τὸν βασιλέα συγχωρῆσαι ταῦτα, καὶ ὅτι σμικρότατον τῦ πολέμυ λιπεῖν. Καὶ ὁ Ἀσσύριος μέντοι, εἴτε ὑπὸ τῶν ὁμοφύλων πεισθεὶς, εἴτε καὶ αὐτὸς ὕτω βυληθεὶς, συνῄνεσε ταῦτα· [a] καὶ ἐγένοντο συνθῆκαι, τοῖς μὲν ἐργαζομένοις εἰρήνην εἶναι, τοῖς δ' ὁπλοφόροις πόλεμον. Ταῦτα μὲν δὴ περὶ τῶν ἐργατῶν διεπέπρακτο ὁ Κῦρος· τὰς μέντοι νομὰς τῶν

quòd prope Babylonem essent, miserè adfligerentur, nisi præsens ipse semper adesset, idcircò tum eos, quotquot ex hostibus dimittebat, Assyrio dicere jussit, tum ipse caduceatorem misit qui ad eum hæc deferret: se *nempe* paratum agricolis parcere, nullâque *hos* adficere injuriâ, si *quidem* et ille eorum, qui ad se defecissent, agricolis, suas ut operas facerent, permittere vellet. Ac tu quidem, ait, etiamsi prohibere possis, non nisi paucos prohibebis: (nam eorum, qui ad me defecerunt, exiguus est ager) ego verò permitterem, amplam tibi regionem cultam esse. Quod autem ad fructus colligendos adtinet, si quidem bellum fuerit, is qui potientior est, meâ sententiâ, *hos* colliget: sin pacem *inter nos* fecerimus, tu scilicet *colliges*, ait. Si quis verò vel meorum adversùs te arma sumpserit, vel tuorum adversùs me, ab his, inquit, pro virili pœnas uterque reposcemus. His cum mandatis caduceatorem dimisit. Assyrii verò, cum hæc audîssent, omni studio à rege contendebant, ut in his *Cyro* accederet, ac quàm minimum belli reliquum faceret. Assyrius verò, sive quòd ei gens sua persuaserat, sive quòd ipse sic vellet, hæc comprobavit: pactísque *adeò* convenit, ut cum agricolis pax esset, cum armatis bellum. Hæc igitur de agricolis perfecit Cyrus:

a *Καὶ ἐγένοντο*, &c.] Eadem consuetudo apud *Indos* belli tempore servari solebat, referente *Diodor. Sic.* lib. 2. p. 122. Συμβάλλονται δὲ παρὰ τοῖς Ἰνδοῖς καὶ τὰ νόμιμα πρὸς τὸ μηδέποτε λιμὸν γενέσθαι παρ' αὐτοῖς. Παρὰ μὲν γὰρ τοῖς ἄλλοις ἀνθρώποις οἱ πολέμιοι καταφθείροντες τὴν χώραν, ἀγεώργητον κατασκευάζουσι· παρὰ δὲ τούτοις τῶν γεωργῶν ἱερῶν καὶ ἀσύλων ἐωμένων, οἱ πλησίον παρατάξεων γεωργοῦντες ἀνεπαίσθητοι τῶν κινδύνων εἰσίν. Ἀμφότεροι γὰρ οἱ πολεμοῦντες ἀλλήλους μὲν ἀποκτείνουσιν ἐν ταῖς παρατάξεσι, τοὺς δὲ περὶ τὴν γεωργίαν ὄντας ἐῶσιν ἀβλαβεῖς, ὡς κοινοὺς ὄντας ἁπάντων εὐεργέτας· &c.

κτηνῶν τοὺς μὲν ἑαυτοῦ φίλους ἐκέλευσε καταθέσθαι, εἰ βούλοιντο, ἐν τῇ ἑαυτῶν ἐπικρατείᾳ· τὴν δὲ τῶν πολεμίων [a] λείαν ἦγον ὁπόθεν δύναιντο, ὅπως εἴη ἡ [b] στρατεία ἡδίων τοῖς συμμάχοις. Οἱ μὲν γὰρ κίνδυνοι, οἱ αὐτοὶ, καὶ ἄνευ τοῦ λαμβάνειν τὰ ἐπιτήδεια· ἡ δὲ ἐκ τῶν πολεμίων τροφὴ κουφοτέραν τὴν στρατείαν ἐδόκει παρέχειν.

Ἐπεὶ δὲ παρεσκευάζετο ὁ Κῦρος ἤδη ὡς ἀπιὼν, παρῆν ὁ Γαδάτας ἄλλα τε δῶρα πολλὰ καὶ παντοῖα φέρων καὶ ἄγων, ὡς ἂν ἐξ οἴκου μεγάλου, καὶ ἵππους γε πολλοὺς ἀφελόμενος τῶν ἑαυτοῦ ἱππέων, οἷς ἠπιστήκει διὰ τὴν [b] ἐπιβουλήν. Ὡς δ' ἐπλησίασεν, ἔλεξεν ὧδε, Ὦ Κῦρε, νῦν μέν σοι ἐγὼ ἄγω ταῦτα, ἵνα ἐν τῷ παρόντι χρῇ αὐτοῖς ἄν τι δέοι. Νόμιζε δ', ἔφη, καὶ τἄλλα πάντα τὰ ἐμὰ, σὰ εἶναι. Οὔτε γάρ ἐστιν, οὔτ' ἔσται ποτὲ, ὅτῳ ἐγὼ ἀπ' ἐμοῦ φύντι καταλείψω τὸν ἐμὸν οἶκον· ἀλλ' ἀνάγκη, ἔφη, σὺν ἐμοὶ τελευτῶντι πᾶν ἀποσβῆναι τὸ ἡμέτερον

jumentorum quidem pascua amicos suos, si vellent, in ditione suâ collocare jussit; hostium verò prædam agebant undecunque poterant, ut militia sociis jucundior esset. Nam tametsi commeatus pararetur nullus, *tamen* eadem pericula *proposita erant:* at militiam leviorem efficere videbatur alimenta ex hostium *regione quærendi ratio.*

Cùm autem Cyrus se jam ad discessum pararet, aderat Gadatas cùm alia dona multa variâque adferens adducénsque, velut ex amplâ copiosâque domo, tum permultos equos suis equitibus ademptos, quibus, *jam* propter *illas* insidias fidem non habebat. Ubi propiùs accessisset, ità loquutus est, Hæc ego jam ad te adduco, Cyre, ut iis in præsenti si quid opus sit utaris. Existimes verò, inquit, *velim,* etiam alia, mea quæ sunt, esse tua. Quippe nemo est, nec erit unquam, cui ex me nato domum ego meam relicturus sim: sed necesse est, inquit, me moriente, mecum et genus nostrum et no-

a Λείαν ἦγον, &c.] Ità clarè MS. Bodl. editique omnes Leunclavius autem conjicit legendum et distinguendum sic τὴν δὲ τῶν πολεμίων, λείαν ἄγειν, videlicet, ἐκέλευσε. Voces verò τὴν δὲ non conjungit cum λείαν, sed illud præcedens nomen hoc modo repetit, τὴν δὲ ἐπικρατείαν τῶν πολεμίων ἐκέλευσε λείαν ἄγειν. *Nam alioquin,* inquit, *hostium prædam abducere, parum convenienter dicitur, et ambigue.* Quod ad mutationem τοῦ ἦγον in ἄγειν adtinet, haud pœnitenda forsan est emendatio. At de constructione verborum illi nequaquam adsentior: nam, τῶν πολεμίων λείαν ἄγειν, rectè dicitur, qui *prædam de hostibus captam agit.* Simili prorsùs loquendi modo utitus. *Herodi.* lib. 7. c. 8. *edit. Oxon.* Τί γὰρ ἦν ὄφελος βαρβάρων, ἀναιρουμένων ——; ἢ λείας αἰχμαλώτους ἀπάγειν τῶν ἐχθρῶν, γυμνοῦντα δὲ τὰς οὐσίας ἀφαιρούμενον τῶν οἰκείων; ubi, nisi omnia me fallunt, parum feliciter rem gessit Interpres ille sermonis, si diis placet, elegantiæ studiosus; quem tamen miro sanè consensu Editiores *Herodi.* secuti sunt. At se sistat *Politianus;* téque penes, lector, de versione sit arbitrium: *Quid enim proderat Barbaros interimi? Quid prædam aut captivos abactos, si suis fortunis Romanæ ditionis mortales quotidie despoliabantur —?* Ego vero locum sic verto: — *vel eam captivam hostium prædam abducere, suos qui facultatibus exueret spoliarétque?* nec non Thucyd. lib. 6. p. 406. Καὶ Ἀργεῖοι μετὰ ταῦτα ἐσβάλλοντες ἐς τὴν Θυρεάτιν ὅμορον ἐοῦσαν, λείαν τῶν Λακεδαιμονίων πολλὴν ἔλαβον, ἣ, &c. —— *magnam Lacedæmoniorum prædam ceperint, &c.*

b Στρατεία] Ità rectè in edit. *Steph. Eton.* et MSto etiam Bodl. scribitur; et paulò post στρατείαν. Cæteri autem libri στρατιὰ et στρατιὰν perperam exhibent.

c Ἐπιβουλήν] Vide supra p. 261.

γένος καὶ ὄνομα. Καὶ ταῦτα, ἔφη, ὦ Κῦρε, (ὄμνυμί σοι τὲς θεὲς, οἳ καὶ ὁρῶσι πάντα καὶ ἀκέουσιν) ἔτε ἄδικον, ἔτε αἰσχρὸν ἐδὲν ἔτ' εἰπὼν ἔτε ποιήσας, ἔπαθον. Καὶ ἅμα ταῦτα λέγων κατεδάκρυσε τὴν αὐτε τύχην, καὶ ἐκέτι ἠδυνήθη πλείω εἰπεῖν.

Καὶ ὁ Κῦρος ἀκέσας, τε μὲν πάθες ᾤκτειρεν αὐτὸν, ἔλεξε δὲ ὧδε, Ἀλλὰ τὲς μὲν ἵππες δέχομαι, ἔφη· σέ τε γὰρ ὠφελήσω, εὐνεςέροις δὲς αὐτὲς, [a] ἢ οἳ νῦν σοι εἶχον, ὡς ἔοικεν· ἐγώ τε (ὃ δὴ πάλαι ἐπεθύμεν) τὸ Περσῶν ἱππικὸν θᾶττον ἐκπληρώσω εἰς τὲς μυρίες ἱππέας· τὰ δὲ ἄλλα χρήματα σὺ ἀπαγαγὼν φύλαττε, ἔφη, ἔς' ἂν με ἴδῃς ἔχοντα, ὥςτε σε μὴ ἡττᾶσθαι ἀντιδωρέμενον· εἰ δὲ πλείω μοι δὲς ἀπίοις, ἢ λαμβάνων παρ' ἐμε, μὰ τὲς θεὲς ἐκ οἶδ' ὅπως ἂν δυναίμην μὴ αἰσχύνεσθαι. Πρὸς ταῦτα ὁ Γαδάτας εἶπεν, Ἀλλὰ ταῦτα μὲν πιςεύω σοι· (ὁρῶ γάρ σε τὸν τρόπον) φυλάττειν μέντοι ὅρα εἰ ἐπιτήδειός εἰμι. Ἕως μὲν γὰρ φίλοι ἦμεν τῷ Ἀσσυρίῳ, καλλίςη δὴ ἐδόκει εἶναι ἡ τε ἐμε πατρὸς κτῆσις· (τῆς γὰρ μεγίςης πόλεως Βαβυλῶνος ἐγγὺς ἔσα, ὅσα μὲν ὠφελεῖσθαί ἐςιν ἀπὸ μεγάλης πόλεως, ταῦτα ἀπελαύομεν· ὅσα δὲ ἐνοχλεῖσθαι, οἴκαδε δεῦρο ἀπιόντες τέτων ἐκποδὼν ἦμεν) νῦν δ' ἐπεὶ ἐχθροί ἐσμεν, [b] δῆλον ὅτι ἐπειδὰν σὺ

men extingui. Atque hæc, Cyre, sum perpessus, ait, (deos juratus testor, qui et vident et audiunt omnia) cùm tamen nihil injustum, nihil turpe, neque dixerim, neque fecerim. Simúlque hæc dicens, suam cum lacrimis deploravit fortunam, neque loqui plura potuit.

Quibus auditis Cyrus calamitatem ejus miseratus, atque his verbis usus est, Equidem equos, ait, accipio: tuæ enim utilitati consulam, hominibus eos dando majori te benevolentiâ prosequentibus, quàm quorum modò erant, utì *quidem* adparet: et Persicum equitatum (id quod jamdudum expetiverim) celeriter explebo ad decem equitum millia: reliquas autem pecunias opésque tecum avectas servato, inquit, donec *tantum* me habere videris, ut remunerando te non sim inferior: quòd si ità abeas ut plura mihi des, quàm à me acceperis; nescio profectò, quo pacto *facere* possim, ut pudore non adficiar. Ad ea Gadatas, Equidem hæc tibi credo, ait: (nam ingenium tuum video) verùm consideres, an *satis* ad hæc conservanda sim idoneus. Etenim quamdiu Assyrio amici eramus, paterna sanè possessio pulcherrima esse videbatur: (quippe cùm ab urbe maximâ Babylone prope absit, quæcunque commoda ex urbe amplâ percipi possunt, hisce *omnibus* fruebamur; quæcunque autem molestiam *nobis* exhibere poterant, ab his domum huc profecti longè aberamus) nunc cùm inimici simus, manifestum

a Ἢ οἳ νῦν, &c.] Sic restituimus partim ex MSto Bodl. editionéque *Flor.* in quibus scribitur ἢ οἱ νῦν, &c. partim ex conjecturâ Stephani: qui, re quidem ipsâ duce, illud οἱ in οἳ mutandum statuit. In aliis verò libris editis, omissâ prorsùs voculâ istâ, legitur, ἢ νῦν σοι, &c.

b Δῆλον ὅτι. &c.] Scriptura hæc est

ἀπέλθῃς καὶ αὐτοὶ ἐπιϐȣλευσόμεθα, καὶ ὁ οἶκος ὅλος· καὶ οἶμαι, λυπηρῶς βιωσόμεθα, ὅλως τȣ̀ς ἐχθρȣ̀ς καὶ πλησίον ἔχοντες, καὶ κρείττȣς ἡμῶν αὐτῶν ὁρῶντες. Τάχ' ἂν εἴποις ἂν, καὶ τί δὴ ταῦτα ȣ̓κ ἐνενόȣν πρὶν ἀποστῆναι; Ὅτι, ὦ Κῦρε, ἡ ψυχή μȣ, διὰ τὸ ὑϐρίσθαι καὶ ὀργίζεσθαι, ȣ̓ τὸ ἀσφαλέστατον σκοπȣ̃σα διῆγεν, ἀλλ' ἀεὶ τȣ̃το κύȣσα, ἆρά ποτε ἔσται ἀποτίσασθαι τὸν καὶ θεοῖς ἐχθρὸν καὶ ἀνθρώποις, ὃς διατελεῖ μισῶν ȣ̓χ ἤν τις τὶ αὐτὸν ἀδικῇ, ἀλλ' ἤν τινα ὑποπτεύσῃ βελτίονα ἑαυτȣ̃ εἶναι. Τοιγαρȣ̃ν, οἶμαι, αὐτὸς πονηρὸς ὢν, πᾶσι πονηροτέροις ἑαυτȣ̃ συμμάχοις χρήσεται. Ἢν δέ τις ἄρα καὶ βελτίων αὐτȣ̃ φανῇ, θάῤῥει, ἔφη, ὦ Κῦρε, ȣ̓δέν σε δεήσει τῷ ἀγαθῷ ἀνδρὶ μάχεσθαι, ἀλλ' ἐκεῖνος ἀρκέσει τȣ̃το μηχανώμενος, [a] ὡς ἀνέλῃ τὸν αὐτȣ̃ βελτίονα. [b] Τȣ̃ μέντοι ἐμὲ ἀνιᾶν, καὶ σὺν τοῖς πονηροῖς ῥᾳδίως, οἶμαι, κρείττων ἔσται.

Ἀκȣ́σαντι τῷ Κύρῳ ταῦτα ἔδοξεν ἄξια ἐπιμελείας λέγειν· καὶ εὐθὺς εἶπε, Τί ȣ̓̃ν, ἔφη, ὦ Γαδάτα, ȣ̓χὶ τὰ μὲν τείχη φυλακῇ ἐχυρὰ ἐποίησας, ὅπως ἄν σοι εἴη ἀσφαλῶς χρῆσθαι,

est, ubi tu discesseris, futurum, ut et nobis et toti domui *nostræ* insidiæ struantur; atque *adeò*, meâ sententiâ, vitam cum dolore *miseriâque* degemus, qui et omninò vicinos habituri simus hostes, eósque nobis ipsis potentiores conspecturi. Fortassè dixeris, cur ista non cogitârim priùs, quàm deficerem? Quia, Cyre, animus meus propter acceptam injuriam et iram, non, quod esset tutissimum considerabat, sed hoc perpetuò parturiebat; ecquando licebit ulcisci hominem et diis et hominibus invisum, qui non desinit odisse, non si quis eum lædat, sed si quem se præstantiorem suspicetur. Itaque, utì opinor, cùm malus ipse sit, omnes *etiam* se deteriores socios habebit. Quòd si quis *inter hos* eo præstantior visus fuerit, certus esto, Cyre, nequaquam tibi adversùs *ejusmodi* virum egregium dimicandum esse, sed illius industria ad hoc machinandum sufficiet, quonam *videlicet* pacto se præstantiorem è medio tollat. Verùm ut mihi molestus sit, *in eo*, quamvis mali *ignavique* sibi adsint socii, facilè superior est, ut opinor, futurus.

Hæc cùm Cyrus audîsset, visus est ei digna consideratione dicere: atque *adeò* statim, Quid ergò, inquit, Gadata, nonne castella præsidiis muniisti, quò tutò iis uti tibi liceat, cùm ea fueris ingressus; ipse vero *nonne* nobis-

MSti Bodl. editionisque *Eton.* eam Stephanus quoque vulgatæ illi, δηλονότι, hoc loco anteponendam vidit.

a Ὡς ἀνέλῃ] Ità editio *Etonensis*, MS. Bodl. pauld aliter, ἕως ἀνέλῃ, Edit. *Flor.* ὡς ἀπολέσει quod glossam prorsùs sapit. *Ald.* autem *Steph.* et *Leuncl.* dant ἕως ἂν ἕλῃ. Horum tamen uterque probat, locíque ratio postulat, scripturam recepimus. Illud ἕως certè si retineatur, (ut sensus sit, *idoneus ad hoc machinandum, donec* &c. tunc) utì rectè notat Stephanus, non videbitur dicere ad *hoc machinandum* quod videlicet sequitur, *quo pacto hominem* &c. sed aliud quidpiam quod præcesserit. Atqui nihil in præcedentibus, ad quod illud τȣ̃το referri queat, inveniemus.

b Τȣ̃ μέντοι, &c.] Sic libri editi pariter et MS. Bodl. Leunclavio tamen ea lectio non satisfacit. Sic autem rectiùs scribi posse putat, Τῷ μέντοι, &c. Mihi magis arridet vulgata lectio.

ὁπόταν εἰς αὐτὰ ἴῃς· αὐτὸς δὲ σὺν ἡμῖν στρατεύῃ, ἵνα ἢν οἱ θεοὶ ὥσπερ νῦν σὺν ἡμῖν ὦσιν, οὗτός σε φοβῆται, ἀλλὰ μὴ σὺ τοῦτον; Ὅ,τι δὲ ἡδύ σοι ὁρᾷν τῶν σῶν ἢ ὅτῳ συνὼν χαίροις ἔχων, σὺν ἐμοὶ πορεύου. Καὶ σύ τ' ἂν ἐμοὶ, ὥς γε μοι δοκῶ, πάνυ χρήσιμος εἴης, ἐγώ τέ σοι, ὡς ἂν δύνωμαι, πειράσομαι. Ἀκούσας ταῦτα ὁ Γαδάτας ἀνέπνευσέ τε καὶ εἶπεν, Ἆρ' οὖν, ἔφη, δυναίμην ἂν συσκευασάμενος φθάσαι, πρίν σε ἐξιέναι; βούλομαι γάρ τοι, ἔφη, καὶ τὴν μητέρα ἄγειν μετ' ἐμαυτοῦ. Ναὶ μὰ Δί', ἔφη, [a] φθάσεις μέντοι· ἐγὼ γὰρ ἐπισχήσω ἔστ' ἂν καλῶς σὺ φῇς ἔχειν. Οὕτω δὴ ὁ Γαδάτας ἀπελθὼν, [b] ἐφύλαξε μὲν τὰ τείχη σὺν Κύρῳ ἃ ὠχυρώσατο, συνεσκευάσατο δὲ πάντα ὁπόσοις ἂν οἶκος μέγας καλῶς οἰκοῖτο. Ἤγετο δὲ καὶ τῶν ἑαυτοῦ τῶν τε πιστῶν, οἷς ἥδετο, καὶ ὧν ἠπίστει πολλοὺς, ἀναγκάσας τοὺς μὲν αὐτῶν καὶ γυναῖκας ἄγειν, τοὺς δὲ καὶ [c] ἀδελφάς, ὡς δεδεμένους τούτοις κατέχοι αὐτούς. Καὶ τὸν μὲν Γαδάταν ὁ Κῦρος ἐν τοῖς

cum es in expeditione, ut si dii perinde ac modò nobiscum fuerint, hic te metuat, non tu ipsum? Quin tu, tecum habens quidquid tuorum adspectu tibi jucundum sit, aut cujus consuetudine delecteris, mecum proficiscitor. Nimirum et tu mihi, ut equidem arbitror, admodùm usui fueris, et esse tibi ego conabor, ut potero. Hæc Gadatas cùm audîsset, respiravit ac dixit, Num possim res meas citiùs colligere, quàm tu discedas? nam et matrem, ait, mecum abducere volo. Poteris, inquit, profectò citiùs: etenim subsistam, donec tibi commodum esse dixeris. Itaque digressus inde Gadatas, castellis quæ communierat, unà cum Cyro præsidia imposuit, et omnia quibus ampla domus instrui commodè posset, collegit. Prætereà suorum complures secum abducebat, tum fidos, quibus delectabatur, tum quibus diffidebat; quorum alios cogebat secum uxores ducere, alios sorores, ut his *quasi vinculis* eos constrictos teneret. Itaque Cyrus cum Gadatâ iisque qui cir-

a φθάσεις] Ità MS. Bodl. editíque libri omnes, præter unum *Etonensem*, in quo mendosè legitur φθάσῃς.

b Ἐφύλαξε μὲν, &c.] Ità quidem locus hic conspirante editorum exemplarium consensu solet exprimi. Mihi verò impensiùs placet hæc MSti Bodl. lectio, —— ἀπελθὼν, φύλαξι μὲν τὰ τείχη σὺν Κύρῳ ὀχυρώσατο, —— suffragante, uti opinor, ipsa Cyri oratione; qui suprà paulò Gadatam sic adfatus est, οὐχὶ τὰ μὲν τείχη φυλακῇ ὀχυρὰ ἐποίησας, —— ubi τὰ τείχη φυλακῇ ἐχυρὰ ποιεῖν, idem videtur esse, atque id quod φύλαξι τὰ τείχη ὀχυροῦσθαι hoc in loco significat. Hanc porrò emendationem laudat etiam *Muretus*; nullo tamen, eam unde hauserat, indicato libro.

c Ἀδελφὰς, &c.] Aldus et Leuncl. legunt ἀδελφούς· hic tamen in versione suâ receptam lectionem sequitur, quam tum MS. Bodl. tum cæteri libri editi, adsentientibus *Gabrielo* et *Philelpho*, præstant. Illud autem ἀδελφοὺς ab imperitiâ librariorum primò manâsse puto, qui cùm genus pronominis, τούτοις, observâssent, nomen antecedens aliquod masculini etiam generis haud dubiè præcessisse perperam autumarent. Atticorum verò moris est masculinis uti pro fœmininis: *Sophoc.* Elect. v. 615, 616.

Ἥτις τοιαῦτα τὴν τεκοῦσαν ὕβρισε,
Καὶ ταῦτα τηλικοῦτος;

pro τηλικαύτη· loquitur enim de Electra Clytemnestra. Similiter paulò post, Noster: τὼ γυναῖκε, pro τὰ ——Vide tamen, si libet, Cl. *Barn.* ad Hom. Il. ι. v. 778. et ad Eurip. Hippol. v. 387. *Achill. Tat.* p. 143. edit. Lugd. Bat. ὁδεὶς γυνή. Quanquam hìc σχῆμα forsan, quod dicitur, πρὸς

περὶ αὐτὸν ἔχων ᾔει, καὶ ὁδῶν φραστῆρα καὶ ὑδάτων καὶ χιλοῦ καὶ σίτου, ὡς ἀεὶ ἐν τοῖς ἀφθονωτάτοις [a] στρατοπεδεύοιτο.

Ἐπεὶ δὲ πορευόμενος καθεώρα τὴν τῶν Βαβυλωνίων πόλιν, καὶ ἔδοξεν αὐτῷ ἡ ὁδὸς, ἣν ᾔει, παρ' αὐτὸ τὸ τεῖχος φέρειν, καλέσας τὸν Γωβρύαν καὶ τὸν Γαδάταν, ἠρώτα εἰ ἄλλη ὁδὸς εἴη, ὥστε μὴ πάνυ πλησίον ἄγειν τοῦ τείχους. Καὶ ὁ Γωβρύας εἶπεν, Εἰσὶ μὲν, ὦ δέσποτα, καὶ πολλαὶ ὁδοί· ἀλλ' ἔγωγ', ἔφη, ᾤμην καὶ βούλεσθαι ἄν σε νῦν ὅτι ἐγγύτατα ἄγειν τῆς πόλεως, ἵνα καὶ ἐπιδείξῃς αὐτοῖς τὸ στράτευμα, ὅτι σοι ἤδη πολύ τε ἐστὶ καὶ καλόν· ἐπεὶ καὶ ὅτε ἔλαττον εἶχες, προσῆλθές τε πρὸς αὐτὸ τὸ τεῖχος, καὶ ἐθεῶντο [b] ὑμᾶς οὐ πολλοὺς ὄντας· νῦν δὲ καὶ εἰ παρεσκευασμένος τε ἐστὶν, [c] ὥσπερ πρὸς σὲ εἶπεν ὅτι παρασκευάσοιτο ὡς μαχούμενος, οἶδα ὅτι ἰδόντι αὐτῷ τὴν σὴν δύναμιν, πάλιν ἀπαρασκεύαστα τὰ αὐτοῦ φανεῖται.

Καὶ ὁ Κῦρος πρὸς ταῦτα εἶπε, Δοκεῖς μοι, ὦ Γωβρύα, θαυμάζειν ὅτι ἐν ᾧ μὲν χρόνῳ πολὺ μείονα ἔχων στρατιὰν ἦλθον,

cum se essent, abibat; qui et index ei viarum esset, et aquarum, et pabuli, et frumenti, ut castra semper locis in uberrimis haberet.

Cùm verò pergens iter Babyloniorum urbem adspiceret, atque ei via, quâ incedebat, ducere propter ipsa urbis mœnia videretur, arcessito Gobryâ Gadataque, aliáne via esset interrogabat, ut tam prope ad mœnia *copias* non ducerent. Et Gobryas, Sunt, inquit, domine, permultæ quidem viæ: sed existimabam equidem te quàm proximè jam ad urbem iter facere velle, quò ipsis commonstrares exercitum tibi nunc et magnum esse et præclarum: nam cùm etiam tibi minor esset, ad murum ipsum accessisti, et vos *illi* haud multos numero spectabant: nunc autem tametsi paratus sit *Assyrius* tibi quemadmodùm dixit ipsum ad pugnandum se parare, scio futurum ut, si copias tuas conspexerit, imparata rursùs ipsi sua videantur.

Ad hæc Cyrus ait, Videris mihi, Gobrya, mirari, quòd id temporis quo multo cum minori exercitu veni, ad ipsa usque mœnia duxerim; nunc ma-

τὸ σημαινόμενον locum habere queat; adeò ut τούτοις ad nomen δεδεμένους inclusum, v. g. δεσμοῖς, referatur. Haud adsimili modo Noster paulo post adhibet relativum αὐτοῖς, —— ᾤμην καὶ βούλεσθαι ἄν σε νῦν ὅτι ἐγγύτατα ἄγειν τῆς πόλεως, ἵνα καὶ ἐπιδείξῃς αὐτοῖς τὸ, &c. ubi αὐτοῖς respicit nomen aliquod in voce πόλεως subintellectum, v. g. ἐνοίκοις, vel Βαβυλωνίοις, vel aliud his simile. Conf. Joh. viii. 44. ubi pronomen αὐτοῦ uti rectè notavit Cl. *Blackwall* Sacr. Class. p. 95. respicit τοῦ ψεύδους, ex nomine ψεύστης, sub quo latet, nullo negotio colligendum. Similiter Rom. x. 5. admonante loci sententiâ, illud αὐτὰ ad ἐντάλματα τοῦ νόμου (quæ licèt non disertè scripserit, voluit tamen Apostolus) referendum videtur

a Στρατοπεδεύοιτο] Ità rescripsimus admonitu Leunclavii et MSti Bodl. in quo totus hic locus sic repræsentatur: —— καὶ σίτου, ὡς εἴη ἐν τοῖς ἀφθονωτάτοις στρατοπεδεύεσθαι. Rectius erit, si vel scribas ὡς sine accentu, vel in ὥστε mutes, et legas ὥστ' ἀεὶ, &c. Illam verò nostram emendationem confirmant *Philelphus* et *Gabrielius*; qui, in loco vertendo, utuntur verbis *castrametari*, et *castra facere*. In vulgatis hactenùs libris perperam legitur στρατεύοιτο.

b Ὑμᾶς] Ità Stephanus et editio *Eton.* at alii libri minùs, uti quidem videtur, commodè, ἡμᾶς exhibent. Vide p. 246.

c Ὥσπερ πρὸς σὲ, &c.] Vide suprà p. 248.

πρὸς αὐτὸ τὸ τεῖχος προσήγαγον· νῦν δὲ πλείω δύναμιν ἔχων οὐκ ἐθέλω ὑπ' αὐτὰ τὰ τείχη ἄγειν. Ἀλλὰ γὰρ μὴ θαύμαζ', ἔφη· οὐ γάρ τὸ αὐτό ἐστι προσάγειν τε καὶ [a] παράγειν. Προσάγουσι μὲν γὰρ ἅπαντες, οὕτω ταξάμενοι, ὡς ἂν οἴωνται ἄριστα μάχεσθαι· ἀπάγουσι μέντοι οἱ σώφρονες ἣ ἂν ἀσφαλέστατα, οὐχ ἣ ἂν τάχιστα ἀπέλθοιεν. Παριέναι δὲ ἀνάγκη ἐστὶν ἐκτεταμέναις μὲν ταῖς ἁμάξαις, [b] ἀνειμένοις δὲ καὶ τοῖς ἄλλοις σκευοφόροις ἐπιπολύ· ταῦτα δὲ δεῖ πάντα προκεκαλύφθαι τοῖς ὁπλοφόροις, καὶ μηδαμῇ τοῖς πολεμίοις γυμνὰ ὅπλων τὰ σκευοφόρα φαίνεσθαι. Ἀνάγκη οὖν, οὕτω πορευομένων, ἐπὶ λεπτὸν καὶ ἀσθενὲς τὸ μάχιμον τετάχθαι. Εἰ οὖν βούλοιντο ἐκ τοῦ τείχους ἀθρόοι πη προσπεσεῖν, ὅπη προσμίξαιεν, πολλῷ ἂν ἐῤῥωμενέστερον συμμιγνύοιεν τῶν παριόντων. Καὶ τοῖς μὲν ἐπὶ μακρὸν πορευομένοις μακραὶ καὶ αἱ ἐπιβοήθειαι, τοῖς δ' ἐκ τοῦ τείχους βραχὺ πρὸς τοὺς ἐγγὺς καὶ προσδραμεῖν καὶ πάλιν ἀπελθεῖν. Ἢν δὲ μὴ μεῖον ἀπέχοντες παρίωμεν, ἢ [c] ἐφ' ὅσον καὶ νῦν ἐκτεταμένοι πορευόμεθα, τὸ μὲν πλῆθος κατόψονται ἡμῶν, ὑπὸ δὲ τῶν παρυφασμένων

joribus copiis instructus *eas* ducere sub muros nolim. Verùm nè mireris, ait; non enim idem est adducere, et præterducere. Omnes enim sic instructas copias adducunt, utì se quàm optimè pugnaturos arbitrantur; at qui sapiunt, sic abducunt, ut quàm tutissimè, non quàm celerrimè, abscedant. In prætereundo autem exporrigi plaustra necesse est, et impedimenta quoque cætera multùm laxari: atque hæc omnia armatis prætentis tegi oportet, nec uspiam impedimenta hostibus ab armis nuda conspici. Sic utique procedentibus *copiis*, necesse est aptos pugnæ milites juxta debiles et imbecillos collocari. Sic ergo velint ex munitione conferti *hostes* in aliquos *prætereuntes* impetum facere, ubicunque *tandem* manus conserent, multò validiores erunt in conflictu, quàm qui prætereunt. Et iis quidem, longo qui procedunt agmine, etiam subsidia non nisi longo ex intervallo mitti possunt; qui verò munitione *se erumpunt*, brevi spatio ad illos qui prope absunt et excurrere possunt, et rursùs abscedere. Quòd si intervallo non minori interjecto præteribimus, quàm quanto nunc extensis ordinibus procedimus, multitudinem *illi* nostram conspicient, et omnis multitudo

a Παράγειν] Gabrielius ex vetusto quodam exemplari adfert ἀπάγειν; pro quâ lectione facit ἀπάγουσι, quod mox, paucis interjectis, sequitur. At in hunc locum *transeundi* seu *prætereundi* significatio aptiùs quadrat, ut idem valeat, atque illa, παρὰ πόλιν ἄγειν, quæ mutatâ per tmesin loquendi formâ, extant lib. 1. p. 70. Quare contra aliorum exemplarium fidem nihil muto. De usitatâ verbi hujus apud Tacticos significatione consule quæ notavimus lib. 2. p. 105.

b Ἀνειμένοις] Sic ex conspirante Leunclavii Muretique conjecturâ rescripsimus. Vulgò legitur ἀνειργμένοις· cui verbo non subest huic loco apta vis, imò proximè præcedentibus illis, ἐκτεταμέναις μὲν ταῖς ἁμάξαις, atque adeò Cyri menti, adversa penitùs. Ut igitur hæc invicem sibi respondeant, aliud recepi verbum, in quo *laxitatis* inest, apta loco, significatio.

c Ἐφ' ὅσον καὶ, &c.] Sincera hæc est MSti Bodl. et editionis *Eton.* lectio: quam sic libri alii, quos vidi, omnes, interpolatam

ὅπλων πᾶς ὄχλος δεινὸς φαίνεται. Ἦν δ' ἄρα καὶ οὕτως ἰόντων [a] ἐπεξίωσί πη, ἐκ πολλοῦ προορῶντες αὐτοὺς οὐκ ἂν ἀπαράσκευοί λαμβανοίμεθα. Μᾶλλον δ', ἔφη, ὦ ἄνδρες, οὐδ' ἐπιχειρήσουσιν ὁπόταν πρόσω δέοι ἀπὸ τοῦ τείχους ἀπιέναι, ἢν μὴ τῷ ὅλῳ ὑπολάβωσι τοῦ παντὸς κρείττους εἶναι· φοβερὸν γὰρ ἡ ἀποχώρησις. Ἐπεὶ δὲ ταῦτα εἶπεν, ἔδοξέ τε ὀρθῶς τοῖς παροῦσι λέγειν, καὶ ὁ Γωβρύας ὥσπερ ἐκέλευσεν ἡγεῖτο. Παραμειβομένου δὲ τὴν πόλιν τοῦ στρατεύματος, ἀεὶ τὸ ὑπολειπόμενον ἰσχυρότερον ποιούμενος ἀπεχώρει.

Ἐπεὶ δὲ πορευόμενος οὕτως ἐν ταῖς γιγνομέναις ἡμέραις ἀφικνεῖται πρὸς τὰ μεθόρια τῶν [b] Ἀσσυρίων καὶ Μήδων, ὅθενπερ ὡρμᾶτο, ἐνταῦθα δὴ [c] τρία ὄντα τῶν Ἀσσυρίων φρούρια, ἓν μὲν αὐτῶν τὸ ἀσθενέστατον προσβαλὼν βίᾳ ἔλαβε, [d] τὼ δὲ δύο φρου-

propter arma adtexta formidabilis adparet. Quòd si nobis hoc modo incedentibus aliquo loco erumpent, quia multò eos ante prospicimus, imparati minimè deprehendemur. Quin potiùs, viri, inquit, nè quidem adgredientur, cùm ipsis procul à muro recedendum erit, nisi se cum universis copiis *suis* futuros toto exercitu *nostro* superiores existimaverint: nam receptus res est plena formidinis. Hæc cùm dixisset, visus est iis qui aderant rectè dicere, et Gobryas, ità utì jusserat, præibat. Cúmque præteriret urbem exercitus, inter abscedendum *Cyrus* postremum semper agmen firmius efficiebat.

Postquam autem hoc modo pergens diebus insequentibus ad Assyriorum Medorúmque fines pervenit, unde initium expeditionis fecerat, ubi cùm tria essent Assyriorum castella, unum eorum quod erat infirmissimum vi adortus

exhibent————ἢ ἐφ' ὅσον κατόψονται ἡμᾶς, καὶ νῦν ἐκτεταμένοι, πορευόμεθα, τὸ μὲν πλῆθος κατόψονται ἡμῶν, &c. Fatetur quidem Stephanus, verba hæc, κατόψονται ἡμᾶς, in codicibus, quibus usus est, veteribus non extare; hisque adeò se potiùs quàm vulgatis editionibus adsentiri. *Camerarius* etiam, auctore Stephano, et *Gabrielius*, illa verba in loco interpretando omiserunt. Quocirca credi par est, exemplaria, quibus isti usi sunt interpretes, ea non agnovisse.

a Ἐπεξίωσί πη] Sic MS. Bodl. *Etonensisque editio*: cùm in cæteris ferè omnibus perperam legatur ἐπεξίωσι σιωπῇ. quam lectionem ex errore subortam, illámque adeò, quam damus, germanam existimavit Stephanus.

b Ἀσσυρίων] Ità libri editi, quos vidi, omnes. In MSto Bodl. scribitur tum hìc, tum versu proximè sequenti, Σύρων· eámque lectionem secutus est *Philelphus*. Zonaras quoque, qui Xenophontem solet transcribere, Σύρων bis exhibet *Annal.* lib. 3. c. 20. Nihilominùs, minimè rejicienda videtur librorum impressorum scriptura.

c Τρία ὄντα τῶν, &c.] Absolutè hoc in loco, ut aliàs sæpè, ponitur accusandi casus: cujus cùm structuræ ignari essent Librarii interpretésque quidam N. T. textum sacrum importunis temerârunt additamentis. Celebris ille MS. Alex. verba S. Lucæ Act. xxvi. 3. sic pessimè repræsentat: Μάλιστα γνώστην ὄντα σε τῶν κατὰ Ἰουδαίων ἐθνῶν τε καὶ ζητημάτων ἐπιστάμενος· διὸ, &c. Similiter vel τοῦ εἰδὼς vel τοῦ ἐπιστάμενος interpolationem secutus Interpres Syrus vertit, &c. [illegible] Confer Luc. xxiv. 47. Marc. ix. 28. Act. vii. 21. Ephes. i. 18.

d Τὼ δὲ δύο, &c.] Ità restituimus admonitu tum vetusti exemplaris, quo usus est Gabrielius, tum MSti Bodl. qui veram sanè lectionem, scripturæ vitio paululùm deformatam, sic exhibet, τῷ δὲ δύω φρουρίω. Stare quidem potest illud δύω· nam Atticæ notæ lectio est. Malo tamen cum Ste-

ρίω φοβῶν μὲν Κῦρος, ᵃ πείθων δὲ Γαδάτας ἔπεισε παραδῦναι τὺς φυλάττοντας. Ἐπεὶ δὲ ταῦτα διεπράξατο, πέμπει πρὸς Κυαξάρην, καὶ ἐπέστελλεν ἥκειν αὐτὸν ἐπὶ τὸ στράτευμα, ὅπως περί τε τῶν φρυρίων ὧν εἰλήφεσαν βυλεύσαιντο ὅ,τι χρήσαιντο, καὶ ὅπως θεασάμενος τὸ στράτευμα, καὶ περὶ τῶν ἄλλων σύμβυλος γίγνοιτο ὅ,τι ἂν δοκοίη ἐκ τύτυ πράττειν· ἢν δὲ κελεύῃ, εἰπὲ, ἔφη, ὅτι ἐγὼ ἂν ὡς ἐκεῖνον ἴοιμι στρατοπεδευσόμενος. Ὁ μὲν δὴ ἄγγελος ᾤχετο ταῦτ᾽ ἀπαγγέλλων·

Ὁ δὲ Κῦρος ἐκέλευσεν ἐν τύτῳ τὸν Γαδάταν τὴν τῦ Ἀσσυρίυ σκηνὴν, ᵇ ἣν Κυαξάρει οἱ Μῆδοι ἐξεῖλον, ταύτην κατασκευάσαι ὡς κάλλιστα τῇ τε ἄλλῃ κατασκευῇ, ἣν εἶχε, καὶ τὼ γυναῖκε εἰσαγαγεῖν εἰς τὸν γυναικῶνα τῆς σκηνῆς, καὶ σὺν αὐταῖς τὰς μυσυργὺς αἵπερ ἐξῃρημέναι ἦσαν Κυαξάρει. Οἱ μὲν δὴ ταῦτ᾽ ἔπραττον. Ὁ δὲ πεμφθεὶς πρὸς τὸν Κυαξάρην, ἐπεὶ ἔλεξε τὰ ἐντεταλμένα, ἀκύσας ὁ Κυαξάρης αὐτῦ, ἔγνω βέλτιον εἶναι τὸ στράτευμα μένειν ἐν τοῖς μεθορίοις. Καὶ γὰρ οἱ Πέρσαι, ὓς μετεπέμψατο ὁ Κῦρος, ἧκον· ἦσαν δὲ μυριάδες τέτταρες τοξοτῶν καὶ πελταστῶν. Ὁρῶν δὲ καὶ τύτυς πολλὰ σινομένυς τὴν Μηδικὴν, τύτων αὖ ἐδόκει ἥδιον ᶜ ἀπαλλαγῆναι μᾶλλον ἢ ἄλ-

cepit; *reliqua* duo castella, Cyro metum incutiente, suadente Gadatâ, perfectum est ut custodes dederent. His rebus confectis, ad Cyaxarem mittit, atque uti ad exercitum veniret per epistolam petiit, quò et de castellis captis quid esset agendum deliberarent, et quò exercitum *ipse* contemplatus, de cæteris etiam rebus consilium daret quid deinceps agendum arbitraretur: quòd si jusserit, ait, dicito me ad ipsum venturum et *istic* castra locaturum. Atque nuntius, hæc qui exponeret, abibat:

Cyrus intereà Gadatæ mandat ut tabernaculum Assyrii, quod Cyaxari Medi selegerant, cum adparatu reliquo, quem habebat, instrueret elegantissimè; tum utramque mulierem in conclave tabernaculi muliebre deduceret, et cum his *etiam alteras illas* musicæ peritas, quæ Cyaxari selectæ fuerant. Atque hæc illi quidem exsequebantur. Qui verò missus erat ad Cyaxarem, cùm mandata exposuisset, his Cyaxari auditis visum est potiùs, ut *istic* in finibus maneret exercitus. Nam et Persæ, quos Cyrus arcessiverat, aderant: qui *quidem* erant numero quadragies mille sagittarii et peltastæ. Quamobrem cùm videret hos etiam magnum Medorum agro detrimentum adferre, libentiùs his quoque liberari velle videbatur, quàm ut aliam turbam

phano vulgatam sequi scripturam. Priùs legebatur, τῶν δὲ δύο φρυρίων, &c.

a Πείθων δὲ Γαδάτας ἔπεισε] Hanc loquendi formam, quâ verbo participium ejusdem originis additur, *Vorstius* et *Gatakerus* inter eas recensendam phrases autumârunt, quæ τοῖς ἔξω minùs notæ sunt, quasque adeò Sriptores sacri ab Hebræo fonte hauserunt. Utut hæc se res habeat, ex hoc certè loco abundè liquet, phrasin esse ejusmodi, quam nè Attica quidem respueret elegantia. Vide Heb. vi. 14. Act. vii. 34. Matt. xiii. 14. Marc. iv. 12.

b Ἣν Κυαξάρει, &c.] Vide lib. 4. p. 215.

c Ἀπαλλαγῆναι μᾶλλον] Vox ultima in MSto Bodl. non comparet: quod mihi sanè nonnihil suspicionis de Librarii movet imperitiâ. Ex variis autem, quæ

λον ὄχλον εἰσδέξασθαι. Ὁ μὲν δὴ ἐκ Περσῶν ἄγων τὸν στρατὸν, ἐρόμενος τὸν Κυαξάρην, κατὰ τὴν Κύρου [a] ἐπιστολὴν; εἴ τι δέοιτο τοῦ στρατεύματος, ἐπεὶ οὐκ ἔφη δεῖσθαι, αὐθημερὸν, ἐπεὶ ἤκουσε παρόντα Κῦρον, ᾤχετο πρὸς αὐτὸν ἄγων τὸ στράτευμα.

Ὁ δὲ Κυαξάρης τῇ ὑστεραίᾳ ἐπορεύετο σὺν τοῖς παραμείνασι Μήδων ἱππεῦσιν· ὡς δ' ᾔσθετο ὁ Κῦρος προσιόντα αὐτὸν, λαβὼν τοὺς Πέρσας ἱππέας, πολλοὺς ἤδη ὄντας, καὶ τοὺς Μήδους πάντας καὶ τοὺς Ἀρμενίους καὶ τοὺς Ὑρκανίους, καὶ τῶν ἄλλων συμμάχων τοὺς εὐιπποτάτους τε καὶ εὐοπλοτάτους, ἀπήντα· καὶ ἐπιδείκνυσι τῷ Κυαξάρει τὴν δύναμιν. Ὁ δὲ Κυαξάρης, ἐπεὶ εἶδε σὺν μὲν τῷ Κύρῳ πολλούς τε καὶ καλοὺς κἀγαθοὺς συνεπομένους, σὺν ἑαυτῷ δὲ ὀλίγην τε καὶ ὀλίγου ἀξίαν θεραπείαν, ἄτιμόν τι ἔδοξεν αὐτῷ εἶναι, καὶ ἄχος αὐτὸν ἔλαβεν. Ἐπεὶ δὲ καταβὰς ὁ Κῦρος ἀπὸ τοῦ ἵππου προσῆλθεν [b] ὡς φιλήσων αὐτὸν κατὰ νόμον, ὁ Κυαξάρης κατέβη μὲν ἀπὸ τοῦ ἵππου, ἀπεστράφη δέ· καὶ ἐφίλησε μὲν οὔ, δακρύων δὲ φανερὸς ἦν. Ἐκ τούτου δὲ ὁ Κῦρος τοὺς μὲν ἄλλους ἅπαντας ἀποστάντας ἐκέλευσεν ἀναπαύσασθαι· αὐτὸς δὲ

in agrum suum admitteret. Et cùm quidem is, qui è Persiâ copias *hasce* ducebat, Cyaxarem interrogaret, quemadmodùm Cyrus præceperat, an *hoc* ipsi opus esset exercitu, atque is sibi opus esse negaret, eodem die Cyrum ubi propè abesse audierat, ad eum exercitum *secum* ducens abibat.

Cyaxares postridiè cum iis, qui secum manserant, equitibus Medis, iter est ingressus: cúmque eum Cyrus advenire sensit, sumptis *secum* et Persicis equitibus, qui jam multi erant, et Medis omnibus, et Armeniis et Hyrcaniis, et reliquorum sociorum equis et armis instructissimos, obviam prodiit: atque *adeò* Cyaxari copias spectandas exhibuit. Cyaxares autem, ubi multos et egregios fortésque *viros* in Cyri comitatu conspexit, secum verò et exiguam et parvi ducendam famulorum manum; *id* sibi dedecori esse putavit, *adeóque* dolor eum invasit. Cúmque Cyrus ex equo descendisset, ac de more osculaturus ipsum accederet, Cyaxares descendit quidem ex equo, sed sese avertit; nec *eum* osculatus est, sed lacrimas palam profudit. Tum verò Cyrus alios quidem omnes secedere jussit et quiescere: ipse dextrâ Cyaxa-

passim obvia sunt, exemplis constat, optimos quosque Græciæ Scriptores τὸ μᾶλλον comparativis addidisse vocibus. Eadem occurrit loquendi ratio, Phil. i. 23. Hujus autem farinæ exempla suppeditabit Budæus; imò et Grammatici.

a Ἐπιστολὴν] Ità MS. Bodl. et edit. *Steph. Eton. Ald. Flor.* aliæque: ut mirari subeat cur Leunclavius aliúsque Xenophontis editor, cui vel errantem utique ducem religio fuit deserere, contra optimorum codicum fidem, ἐντολὴν reponerent. Mihi suspicio sanè insidet, hos editores haud satis intellexisse, mandata quoque ἐπιστολὰς apud Veteres appellari. *Æschyl.*

Ἥφαιστε, σοὶ δὲ χρὴ μέλειν ἐπιστολὰς
Ἅς σοι πατὴρ ἐφεῖτο —
Prometh. Vinc. v. 3.

Schol. Ἐπιστολὰς] Ἐντολάς. Eodem prorsùs modo *Schol.* in Sophoc. *Oed. Col.* p. 323. *edit.* H. Steph. vocem illam exponit. *Hesychius:* Ἐπιστολαὶ, ἐντολαὶ, ἐπιταγαί. *Thomas Magister:* Ἐπιστεῖλαι, οὐ μόνον τὸ διὰ γραμμάτων, ἀλλὰ καὶ τὸ αὐτοπροσώπως κελεῦσαι· καὶ ἐπιστολὴ ὡσαύτως.

b Ὡς φιλήσων, &c.] Vide quæ notavimus lib. 1. p. 47. Not. b.

λαβόμενος τῆς δεξιᾶς τοῦ Κυαξάρου, καὶ ἀπαγαγὼν αὐτὸν τῆς ὁδοῦ ἔξω ὑπὸ φοίνικάς τινας, [a] τῶν τε Μηδικῶν πίλων ὑποβάλλειν ἐκέλευσεν αὐτῷ, καὶ καθίσας αὐτὸν καὶ παρακαθισάμενος ἤρετο ὧδε·

Εἰπέ μοι, ἔφη, πρὸς τῶν θεῶν, ὦ θεῖε, τί μοι ὀργίζῃ; καὶ τί χαλεπὸν ὁρῶν οὕτω χαλεπῶς φέρεις; Ἐνταῦθα δὴ ὁ Κυαξάρης ἀπεκρίνατο τοιάδε, Ὅτι, ἔφη, ὦ Κῦρε, δοκῶν-γε δὴ, ἐφ᾽ ὅσον ἀνθρώπων μνήμη ἐφικνεῖται, καὶ τῶν πάλαι προγόνων καὶ πατρὸς βασιλέως πεφυκέναι, καὶ αὐτὸς βασιλεὺς νομιζόμενος εἶναι, ἐμαυτὸν μὲν ὁρῶ οὕτω ταπεινῶς καὶ ἀναξίως ἐλαύνοντα, σὲ δὲ τῇ ἐμῇ θεραπείᾳ καὶ τῇ ἄλλῃ δυνάμει [b] μέγαν τε καὶ μεγαλοπρεπῆ παρόντα. Καὶ ταῦτα χαλεπὸν μὲν οἶμαι καὶ ὑπὸ πολεμίων παθεῖν, πολὺ δὲ, ὦ Ζεῦ, χαλεπώτερον ὑφ᾽ ὧν ἥκιστα ἐχρῆν ταῦτα πεπονθέναι. Ἐγὼ μὲν γὰρ δοκῶ δεκάκις ἂν κατὰ τῆς γῆς ἥδιον δῦναι, ἢ ὀφθῆναι οὕτω ταπεινὸς, καὶ ἰδεῖν τοὺς ἐμοὺς ἐμοῦ ἀμελήσαντας καὶ ἐπεγγελῶντας ἐμοί. Οὐ γὰρ ἀγνοῶ τοῦτ᾽, ἔφη, ὅτι οὐ σὺ μοῦ μόνον μείζων εἶ, ἀλλὰ καὶ οἱ

ris prehensâ, de viâ sub palmas quasdam eum abduxit, et stragula *quædam* ei Medica substerni jussit, *in quæ* cùm eum collocâsset et adsedisset *ipse*, sic interrogavit:

Dic mihi, per deos *immortales*, inquit, avuncule, quamobrem mihi irasceris? et quid rei molestæ vides, quod usque adeò fers graviter? Hìc Cyaxares hujusmodi quædam respondit, Quia cùm, Cyre, existimer inde usque ab omni hominum memoriâ tum majoribus *jam* olim *regibus* tum patre rege procreatus esse, atque *etiam* ipse rex habear, me quidem adeò vilem indignúmque in modum advehi conspicio, te verò meis cum famulis cæterísque copiis magnum et magnificum adesse. Atque hæc, meâ sententiâ, vel ab hostibus pati grave est; sed multò, prô Jupiter, graviùs ab illis, à quibus hæc *quenquam* perpessum esse minimè decebat. Equidem arbitror esse satius decies sub terram condi, quàm adeo vilem me conspici, meósque mei negligentes, me irridentes cernere. Neque enim hoc, ait, ignoro, non te solum me majorem esse, sed mihi etiam servos meos, me

a Τῶν τε Μηδικῶν, &c.] MS. Bodl. Τόν τε Μηδικὸν πῖλον, imperite. Græcis enim familiare est, quando *aliquid* ex universo rei alicujus genere sumptum aut captum dicere volunt, jungere tunc genitivum isto sensu, per elipsin voculæ τι, verbis activis. *Ælian.* H. V. l. 11. c. 5. ——— ἐνέβαλον τῶν ἱερῶν χρημάτων, pro τι ἐκ τῶν, &c. Noster lib. 2. p. 105. καὶ τοῖσδε τοῖς φίλοις τούτου τοῦ ὀλίγου ἄξιον γέλωτος ἐπιδαψιλεύσομαι· pro τι ἐκ τούτου, &c. Similiter *Aristophanes*:

——— ὁδὸς τῷ φαλακρῷ
Τῶν τρωγαλίων, ———
Ελρ. v. 771, et seq.

b Μέγαν τε] Vorstius *Comment. de Hebrais.* N. T. c. 25. Hebraismorum numero adscribendum putat eum vocis μέγας usum, *quo non staturam et quantitatem, sed conditionem hominum*, Heb. viii. 11. designat. At hæc ultima vocis istius significatio Græcis perquam familiaris est. Libet Xenophontéo huic exemplo alterum ex Aristophane prolatum adjicere:

Ἔστιν γὰρ ἡμῖν δεσπότης ἐκεινοσί,
Ἄνω καθεύδων, ὁ μέγας ὁ ὑπὸ τοῦ τέγους.

Ubi *Schol.* Ὁ μέγας] Οὐ τῇ ἡλικίᾳ, ἀλλὰ τῇ ἐξουσίᾳ, καὶ τῇ σεμνότητι· Σφηκ. v. 67. et seq.

ἐμοὶ δοῦλοι ἰσχυρότεροι ἐμοῦ ὑπαντιάζουσί μοι, καὶ κατεσκευασμένοι εἰσὶν ὥστε δύνασθαι ποιῆσαι μᾶλλον ἐμὲ κακῶς ἢ παθεῖν ὑπ' ἐμοῦ. Καὶ ἅμα ταῦτα λέγων, πολὺ ἔτι μᾶλλον ἐκρατεῖτο ὑπὸ τῶν δακρύων. ὥστε καὶ τὸν Κῦρον ἐπεσπάσατο ἐμπλησθῆναι δακρύων τὰ ὄμματα. Ἐπισχὼν δὲ μικρὸν ἔλεξε τοιάδε ὁ Κῦρος·

Ἀλλὰ ταῦτα μὲν, ἔφη, ὦ Κυαξάρη, οὔτε λέγεις ἀληθῶς, οὔτε ὀρθῶς γιγνώσκεις, εἰ οἴει τῇ ἐμῇ παρουσίᾳ Μήδους κατεσκευάσθαι ὥστε ἱκανοὺς εἶναί σε κακῶς ποιεῖν. Τὸ μέντοι σὲ θυμοῦσθαι καὶ φοβεῖσθαι οὐ θαυμάζω· εἰ μέντοι γε δικαίως ἢ ἀδίκως αὐτοῖς χαλεπαίνεις, παρήσω τοῦτο· (οἶδα γὰρ ὅτι βαρέως ἂν φέροις ἀκούων ἐμοῦ ἀπολογουμένου ὑπὲρ αὐτῶν) τὸ μέντοι ἄνδρα ἄρχοντα πᾶσιν ἅμα χαλεπαίνειν τοῖς ἀρχομένοις, τοῦτο ἐμοὶ δοκεῖ μέγα ἁμάρτημα εἶναι. Ἀνάγκη γὰρ, διὰ τὸ πολλοὺς μὲν φοβεῖν, πολλοὺς ἐχθροὺς ποιεῖσθαι· διὰ δὲ τὸ ἅμα πᾶσι χαλεπαίνειν, πᾶσιν αὐτοῖς ὁμόνοιαν ἐμβάλλειν. Ὧν ἕνεκα, εὖ ἴσθι, ἐγὼ οὐχὶ ἀπέπεμπον ἄνευ ἐμαυτοῦ τούτους, φοβούμενος μή τι γένοιτο διὰ τὴν σὴν ὀργὴν ὅ,τι πάντας ἡμᾶς λυπήσει. Ταῦτα μὲν οὖν σὺν τοῖς θεοῖς ἐμοῦ παρόντος ἀσφαλῶς ἕξει σοι· τὸ μέντοι σὲ νομίζειν ὑπ' ἐμοῦ ἀδικεῖσθαι, τοῦτ' ἐγὼ χαλεπῶς πάνυ φέρω, εἰ ἀσκῶν ὅσον δύναμαι τοὺς φίλους ὡς πλεῖστα ἀγαθὰ ποιεῖν, ἔπειτα τἀναντία τούτου δοκῶ ἐργάζεσθαι. Ἀλλὰ γὰρ, ἔφη, μὴ οὕτως εἰκῇ ἡμᾶς αὐτοὺς αἰτιώμεθα· ἀλλ', εἰ δυνατὸν, σαφέστατα κατίδωμεν ὁποῖόν ἐστι τὸ παρ' ἐμοῦ ἀδίκημα. Καὶ τὴν ἐν φίλοις δικαιοτά-

potentiores, occurrere, atque ità paratos esse, ut faciliùs me lædere possint quàm à me lædi. Atque hæc dum proferret, multò etiam magìs eum superabant lacrimæ: adeò ut Cyrum etiam *eò* pertraheret, ut oculi ejus lacrimis implerentur. Cùm autem paulùm se cohibuisset, ità Cyrus loquutus est:

Hæc verò, Cyaxares, nec verè dicis, nec rectè judicas, si Medos arbitraris, ipse quòd hic adsim, sic instructos esse, ut ad te lædendum satìs virium habeant. Te sanè et irasci et in metu esse non miror: utrùm verò jure an injuriâ eis succenseas, id *equidem* omittam: (quippe novi te graviter laturum, si me pro eis causam dicere audias) sed enim virum, qui cum imperio sit, subjectis sibi pariter omnibus succensere, magnum equidem errorem arbitror. Est enim necesse, multos inimicos fieri, cùm quis terrorem multis incutit; *necesse* etiam, ut concordiam eis omnibus injiciat, cùm quis omnibus succenset. His de causis, me certò scias *velim* hos *ad te* sine me non remisisse, quòd metuerem nè quid ob iracundiam tuam accideret, quod nobis universis dolorem adferret. Itaque deûm ope nullum hæc tibi me præsente periculum creabunt: quòd existimas injuriâ te adfectum à me esse, id graviter admodùm fero, si dum pro virili laboro ut in amicos plurima beneficia conferam, contrarium facere videar. Verùm enimverò, inquit, nè nosmet ipsos adeò temerè criminemur; sed, si fieri potest, planissimè videamus qualis illa sit à me *illata* injuria. Atque ego *quidem* æquissimam inter

την [a] ὑπόθεσιν ἐγὼ ὑποτίθεμαι· ἢν γάρ τι ἐγὼ φανῶ κακὸν πεποιηκὼς, ὁμολογῶ ἀδικεῖν· ἢν μέντοι [b] μηδὲν φαίνωμαι κακὸν πεποιηκὼς, μηδὲ βουληθεὶς, οὐ καὶ σὺ αὖ ὁμολογήσεις μηδὲν ὑπ' ἐμοῦ ἀδικεῖσθαι; Ἀλλ' ἀνάγκη, ἔφη. Ἢν δὲ δὴ καὶ ἀγαθὸν πεπραχώς σοι δῆλος ὦ, καὶ προθυμούμενος πρᾶξαι ὁπόσα πλεῖστα ἠδυνάμην, οὐκ ἂν ἐπαίνου σοι ἄξιος εἴην μᾶλλον ἢ μέμψεως; Δίκαιον γοῦν, ἔφη. Ἄγε τοίνυν, ἔφη ὁ Κῦρος, σκοπῶμεν τὰ ἐμοὶ πεπραγμένα πάντα καθ' ἓν ἕκαστον· οὕτω γὰρ δὴ μάλιστα δῆλον ἔσται ὅ,τι τε αὐτῶν ἀγαθόν ἐστι, καὶ ὅ,τι κακόν. Ἀρξώμεθα δὲ, ἔφη, ἐκ τῆσδε τῆς ἀρχῆς, εἰ καὶ σοὶ δοκεῖ ἀρκούντως ἔχειν. Σὺ γὰρ δήπου ἐπεὶ ᾔσθου πολλοὺς πολεμίους ἠθροισμένους, καὶ τούτους ἐπί σε καὶ τὴν σὴν χώραν ὡρμημένους, εὐθὺς [c] ἔπεμπες πρός τε τὸ Περσῶν κοινὸν, συμμάχους αἰτούμενος, καὶ πρὸς ἐμὲ ἰδίᾳ, δεόμενος πειρᾶσθαι αὐτόν με ἐλθεῖν ἡγούμενον, εἴ τινες Περσῶν ἴοιεν. Οὐκοῦν ἐγὼ ἐπείσθην τε ταῦτα ὑπὸ σοῦ, καὶ παρεγενόμην, ἄνδρας ἄγων σοι ὡς ἐδυνάμην πλείστους τε καὶ ἀρίστους; Ἦλθες γὰρ οὖν, ἔφη. Ἐν τούτῳ τοίνυν μοι πρῶτον εἰπὲ, ἔφη, πότερον ἀδικίαν ἐμοῦ πρός σε κατέγνως, ἢ μᾶλλον εὐεργεσίαν; Δῆλον, ἔφη ὁ Κυαξάρης, ὅτι ἔκ γε τούτων εὐεργεσίαν.

amicos conditionem propono: nam si me constat mali quidquam fecisse, injustum me fatebor; sin me nihil admisisse maleficii manifestum sit, ac nè cogitâsse quidem, annon et ipse vicissim fatebere, nullâ te adfectum à me injuriâ? Id verò necesse fuerit, ait. Quòd si autem manifestum sit etiam boni me auctorem extitisse tibi, studioséque in id incubuisse, ut quàm plurima beneficia possem, in te conferrem; annon potiùs laude tibi dignus habear, quàm reprehensione? Æquum scilicet, ait. Age igitur, inquit Cyrus, consideremus singillatim omnia quæ à me gesta sunt; sic enim maximè perspicuum erit, quid in iis boni sit, quid mali. Ordiamur autem ab hoc, ait, principio, si et tibi sufficere videtur. Tu nimirum cùm animadverteres multos coïvisse hostes, et quidem adversùs te tuámque regionem *domo* progressos esse, illicò tum ad Persas publicè misisti copias auxiliares petitum, tum ad me privatim, rogans ut operam darem quò venirem ipse, copiarúmque Persicarum, si quæ *ad te* irent, ductor essem. Annon in his abs te persuasus sum, adfuíque viros ducens numero quàm potui maximo, eosdémque præstantissimos? Venisti verò, inquit. Ergò, ait, mihi primùm dicito, utrùm in hoc injuriam adversùm te meam deprehenderis, an potiùs beneficium? Manifestum est, inquit Cyaxares, ex his beneficium *me tuum*

a Ὑπόθεσιν ἐγὼ, &c.] MS. Bodl. dat ὑπόθεσιν ἔχω ὑποτιθέναι· ἐὰν γάρ τί σε φανῶ, &c. Eandem lectionem ex vetere quodam libro adfert Stephanus: malui tamen vulgatam retinere, quam editi libri præstant omnes. Nec addendum videtur, sed potiùs subaudiendum, pronomen σὲ, inter τί et φανῶ.

b Μηδὲν φαίνωμαι] In editione Leunclavianâ legitur μηδὲ φαίνομαι, &c. in MSto Bodl. μηδὲ ὡς φαίνομαι, &c. At lectionem receptam cæteri libri omnes defendunt.

c Ἔπεμπες πρός τε, &c.] Vide supra lib. 1. p. 32.

Τί γάρ; ἔφη, ἐπειδὴ οἱ πολέμιοι ἦλθον, καὶ διαγωνίζεσθαι ἔδει πρὸς αὐτοὺς, ἐν τούτῳ κατενόησάς με ἢ πόνου τινὸς ἀποστάντα, ἢ κινδύνου φειςάμενον; Οὐ μὰ τὸν Δί', ἔφη, οὐ μὲν δή. Τί γάρ; ἐπεὶ νίκης γενομένης σὺν τοῖς θεοῖς ἡμετέρας, καὶ ἀναχωρησάντων τῶν [a] πολεμίων, παρεκάλουν σε ἐγὼ ὅπως κοινῇ μὲν αὐτοὺς διώκοιμεν, κοινῇ δὲ τιμωροίμεθα, κοινῇ δὲ, [b] εἴ τι καλὸν κἀγαθὸν συμβαίνοι, τοῦτο καρποίμεθα· ἐν τούτοις ἔχεις τινὰ πλεονεξίαν ἐμοῦ κατηγορῆσαι; Ὁ μὲν δὴ Κυαξάρης πρὸς ταῦτα ἐσίγα· ὁ δὲ Κῦρος πάλιν ἔλεγεν ὧδε, Ἀλλ' ἐπεὶ πρὸς τοῦτο σιωπᾷν ἥδιόν σοι ἢ ἀποκρίνασθαι, τόδε γε, ἔφη, εἰπὲ, εἴ τι ἀδικεῖσθαι ἐνόμισας ὅτι, ἐπεί σοι ἐδόκει οὐκ ἀσφαλὲς εἶναι τὸ διώκειν, σὲ μὲν [c] αὐτὸν οὐκ ἀφῆκα τούτου τοῦ κινδύνου μετέχειν, ἱππέας δὲ τῶν σῶν πέμψαι ἐδεόμην σοῦ; εἰ γὰρ καὶ τοῦτο αἰτῶν ἠδίκουν, ἄλλως τε καὶ προπαρεσχηκὼς ἐμαυτόν σοι σύμμαχον, τοῦτ' αὖ παρὰ σοῦ, ἔφη, ἐπιδεικνύσθω. Ἐπεὶ δ' αὖ καὶ πρὸς ταῦτα ἐσίγα ὁ Κυαξάρης, Ἀλλ' εἰ μηδὲ τοῦτ', ἔφη, βούλει ἀποκρίνασθαι, σὺ τοῦτο τοὐντεῦθεν λέγε, εἴ τι αὖ ἠδίκουν ὅτι σοῦ ἀποκριναμένου ἐμοὶ ὡς οὐκ ἂν βούλοιο, εὐθυμοῦμέ-

cognovisse. Quid verò? inquit, ubi venerunt hostes, et dimicandum adversùs eos erat, an tum animadvertisti me vel laborem ullum detrectâsse, vel pepercisse periculo? Non profectò, ait, non equidem. Quid? ubi deûm ope victoria penes nos stetit, hostésque *jam* cederent, atque ego te rogarem ut communibus eos copiis insequeremur, communi operâ ulcisceremur, communem denique, siquid benè felicitérque eveniret, ex eo fructum caperemus: in his an me accusare possis, quasi proprii emolumenti plus æquo cupidum? Ad hæc quidem Cyaxares subticuit: Cyrus autem rursùm ità loquutus est, Quando tibi ad hoc tacere potiùs libet, quàm respondere, id mihi dicito, adfectúmne te sis arbitratus injuriâ quòd, cùm tibi tutum non esse videretur persequi, te quidem ipsum periculi hujus participem fieri non sum passus, sed ut equites mihi quosdam de tuis mitteres, rogavi? num enim id abs te petens injustè fecerim, præsertim qui jam ante me tibi socium belli præbuissem, hoc abs te, inquit, demonstretur. Ad hæc itidem cùm taceret Cyaxares, At si nè ad hoc quidem, inquit, respondere vis, illud deinceps dicito, an injurius fuerim quòd, cùm tu mihi responderes nolle te, qui Me-

a Πολεμίων παρεκάλουν] Editiones *Ald.* et *Florent.* exhibent οὐ ante παρεκάλουν, et notam interrogationis post καρποίμεθα. Perperam; nisi quis illud ἐπεὶ delendum censuerit. Sed nobis omninò visum est lectionem, quæ consensu auctoritatéque MSti Bodl. et edit. *Steph. Leuncl. Eton.* nititur, exprimendam curare.

b Εἴ τι καλὸν κἀγαθὸν, &c.] In plerisque libris hactenùs editis legitur εἴ τι ἀγαθὸν ἢ καλὸν, &c. Nos libenter MStum Bodl. et Stephanum secuti sumus.

c Αὐτὸν οὐκ ἀφῆκα] In vetustis quibusdam exemplaribus vocula illa negativa, teste Stephano, non invenitur: in iisdem etiam, eodem teste, infinitivum μετέχειν non exstat. Cum istis autem exemplaribus nostrum etiam Bodl. conspirat. Hujus tamen in orâ lectio exstat ea, quam secuti sumus, quámque libri tuentur omnes. Utraque sanè lectio eundem sensum efficit. Nostra ad verbum sonat, *Teipsum hujus periculi partem subire non permisi.* Altera autem (in quâ οὐκ et μετέχειν omittuntur) significat, *Teipsum hoc discrimine liberavi,* quod videlicet adeundum tibi alioqui fuisset.

νους ὁρῶν· [a] Μήδους τούτου παύσας αὐτοὺς ἀναγκάζειν κινδυνεύσοντας ἰέναι, εἴτι αὖ σοι δοκῶ τοῦτο χαλεπὸν ποιῆσαι, ὅτι ἀμελήσας τοῦ ὀργίζεσθαί σοι, ἐπὶ τούτοις πάλιν ᾔτουν [b] σὲ οὗ ᾔδειν ὅτι σοὶ μεῖον ὂν δοῦναί μοι οὐδὲν, ὅτι ῥᾷον Μήδοις ἐπιταχθῆναι οὐδέν· τοὺς γὰρ βουλόμενον δήπου ἕπεσθαι ᾔτησά σε δοῦναί μοι. Οὐκοῦν τούτου τυχὼν παρὰ σοῦ, οὐδὲν ἤνυον εἰ μὴ τούτους πείσαιμι. Ἐλθὼν οὖν ἔπειθον αὐτοὺς, καὶ οὓς ἔπεισα τούτους λαβὼν ἐπορευόμην, σοῦ ἐπιτρέψαντος. Εἰ δὲ τοῦτό γε αἰτίας ἄξιον νομίζεις, οὐδ' ὅ,τι ἂν διδῶς, ὡς ἔοικε, δέχεσθαι παρὰ σοῦ ἀναίτιόν ἐστιν. Οὐκοῦν ἐξωρμήσαμεν οὕτως. Ἐπεὶ δ' ἐξήλθομεν, τί ἡμῖν πεπραγμένον οὐ φανερόν ἐστιν; οὐ τὸ στρατόπεδον ἡλώκει τῶν πολεμίων; οὐ τεθνᾶσι πολλοὶ τῶν ἐπὶ σὲ ἐλθόντων; Ἀλλὰ μὴν τῶν γε ζώντων [c] ἐχθρῶν οὐ πολλοὶ μὲν ὅπλων ἐστέρηνται, πολλοὶ δὲ ἵππων; Χρήματα γε μὴν τὰ τῶν φερόντων [d] καὶ ἀγόντων τὰ σὰ πρότερον νῦν ὁρᾷς τοὺς σοὺς φίλους καὶ ἔχοντας, καὶ ἄγοντας, τὰ μὲν σοὶ, τὰ δ' αὐτοῖς ὑπὸ τὴν σὴν ἀρχήν. Τὸ δὲ πάντων μέγιστον, καὶ κάλ-

dos hilaritati operam dare videres ab hâc revocatos cogere *tunc* ad profectionem cum periculo conjunctam; an, *inquam*, videar molestum aliquid tibi fecisse, quod irasci tibi noluerim, sed post hæc rursùm abs te id petiverim, quo sciebam nihil à te mihi dari posse levius, nihil Medis imperari facilius: rogabam enim ut eos mihi dares, qui sequi vellent. Atqui hoc cùm abs te impetrâssem, perfeci nihil, extra quàm his *ut me sequerentur* persuadendo. Itaque eos accessi, persuasi, iisque quibus persuaseram adsumptis abii, tuo permissu. Quòd si hoc meritò culpandum existimas, nè quidem culpâ vacat, utì videtur, aliquid abs te accipere, quod dederis. Sic igitur profecti sumus. At postquam discessimus, quid gestum à nobis est, quod *omnibus* notum non sit? annon hostium castra capta sunt? annon plures eorum interfecti sunt, qui contra te venerant? Quin et ex vivis hostibus annon multi spoliati sunt armis, equis multi. Fortunas verò eorum qui antehac ferebant et agebant res tuas, jam vides amicos tuos tenere et *secum* adferre partim tibi, partim sibi qui tuo *tamen* imperio subjecti sunt. Quod verò

a Μήδους τούτου, &c.] Ità restituimus ex conspirantibus Stephani Leunclaviique conjecturis. Priùs Μήδους τούτους legebatur. Pro eo autem quod hic παύσας dicit, anteà ἐξαναστήσας, dixerat, lib. 4. p. 174,—βουλοίμην ἂν ἔγωγε νῦν ὁρῶν Μήδους εὐθυμουμένους, ἐξαναστήσας ἀναγκάζειν κινδυνεύσοντας ἰέναι.

b Σὲ οὗ ᾔδειν, &c.] Ità editiones *Steph.* et *Eton.* In aliis legitur σὲ ὃ ᾔδειν, &c. Sed pro ὃ reponendum οὗ, comparativa μεῖον et ῥᾷον apertè monent. Stephanus etiam nostram hanc lectionem veter. exemplar. auctoritate confirmatam esse tradit.

c Ἐχθρῶν οὐ πολλοὶ] Particula illa negativa hìc quoque, sicut in loco suprà paulò adnotato, in MSto Bodl. et plerisque ex vetustis exemplaribus, quibus Stephanus usus est, non invenitur. Nec verò ejus omissio sensum quidquam immutat. Palam enim est id significare *nonne*, et responsionem affirmativam postulare. Ideóque, utì rectè observat Stephanus, eâ additâ non minùs affirmativè hæc dicentur, quàm eâ prætermissâ.

d Καὶ ἀγόντων] Edit. *Ald. Flor. Leunclav.* aliæque dant ἀγαγόντων. Cujus scripturæ vitium ante nos subodoratus est Stephanus; quique adeò ἀγόντων, quod cum φερόντων, congruit, ex vet. exempl. reposuit. Quam emendationem constabiliunt etiam MS. Bodl. et editio *Eton.*

a *Κρατεμένων· μόνον δὲ*, &c.] Hæc est MSti Bodl. scriptura; nisi quod exhibeat —— *πλὴν τὸ τῶν Αἰγυπτίων*. At rectiùs, opinor, tollas articulum *τό*· quòd si retineas, subaudiendum erit *τάγμα*, *ςίφος*, aut aliud his adfine nomen. Libri hactenus vulgati —— *κρατεμένων· τῶν μὲν πολεμίων, φευγόντων· τῶν δ' ἑαυτῦ, κρατέντων· κρατεμένων*, &c. Ista verba *τῶν μὲν πολεμίων, φευγόντων· τῶν δ' ἑαυτῦ κρατέντων*, manum interpolatoris sapiunt, qui claris lucem adferre vellet. Cui enim jam dubium esse poterat, utri fugerent, utri vincerent? Ubi autem posteriore loco legitur *κρατεμένων*, quin *μόνον* legi debeat, nemo dubitaverit, qui meminerit, *ὅτι ἔδοξε τῷ Κύρῳ ἀναβῆναι ἐπὶ πύργον τινὰ κατασκέψασθαι εἴ πῃ καὶ ἄλλο τι μένοι τῶν πολεμίων, καὶ μάχοιτο*. *Gabrielius* quoque et *Philelphus* *μόνον* in vetustis eorum exemplaribus invenerunt. *Muretus* denique, sive conjecturâ, sive veteris alicujus, ab eo non memorati, exemplaris auctoritate fretus, totum hunc locum sic emendandum vidit. Huic verò de iis, quæ statim sequuntur, refingendis in hunc modum, *Οὗτοι δὲ ἐπειδὴ ἠπορῦντο, κυκλοποιησάμενοι, ὥςτε πάντοθεν ὁρᾶσθαι τὰ ὅπλα ὑπὸ*, &c. non adsentior. Fatendum tamen est, isti quoque mutationi nonnihil favere MStum Bodl. qui dat —— *ἠπορῦντο, πάντοθεν κυκλοποιησάμενοι*.

b *Πάντες ὑπὲρ*] Ità restituimus admonitu exemplaris *Gabrielio* visi: adstipulantibus Stephano, Mureto, et Philelpho. Priùs erat, *πάντες ὑπὸ τῶν*, &c.

προδόντες σωθείητε, τά τε ὅπλα ἡμῖν παραδόντες, φίλοι τε γενόμενοι τοῖς αἱρουμένοις ὑμᾶς σῶσαι, ἐξὸν ἀπολέσαι. Ἀκούσαντες ταῦτα ἐπήροντο, Ἢν δὲ γενώμεθά σοι φίλοι, τί ἡμῖν ἀξιώσεις χρῆσθαι; Ἀπεκρίνατο ὁ Κῦρος, Εὖ ποιεῖν καὶ εὖ πάσχειν. Ἐπηρώτων πάλιν οἱ Αἰγύπτιοι, Τίνα εὐεργεσίαν; Πρὸς τοῦτο εἶπεν ὁ Κῦρος, Μισθὸν ὑμῖν δοίην πλείονα ἢ νῦν ἐλαμβάνετε, ὅσον ἂν χρόνον πόλεμος ᾖ· εἰρήνης δὲ γενομένης, τῷ βουλομένῳ ὑμῶν μένειν παρ' ἐμοὶ χώραν τε δώσω καὶ πόλεις καὶ γυναῖκας καὶ οἰκέτας. Ἀκούσαντες ταῦτα οἱ Αἰγύπτιοι, τὸ μὲν ἐπὶ Κροῖσον συστρατεύειν, ἀφελεῖν σφίσιν ἐδεήθησαν ([a] τούτῳ γὰρ μόνῳ συγγιγνώσκεσθαι ἔφασαν) τὰ δ' ἄλλα συνομολογήσαντες, ἔδοσαν πίστιν καὶ ἔλαβον. Καὶ οἱ Αἰγύπτιοί τε οἱ καταμείναντες τότε, ἔτι καὶ νῦν βασιλεῖ πιστοὶ διαμένουσι· Κῦρός τε πόλεις αὐτοῖς ἔδωκε, τὰς μὲν ἄνω, αἳ ἔτι καὶ νῦν πόλεις Αἰγυπτίων καλοῦνται, Λάρισσάν τε καὶ Κυλλήνην, παρὰ [b] Κύμην, πλησίον θαλάσσης, ἃς ἔτι

inquit, sociorum prodito, salutem consequamini, arma cùm nobis tradideritis, et eorum amplexi fueritis amicitiam, qui vos conservare malunt, cùm liceat interimere. His illi auditis, rursùm interrogant, Si tuam amplexi fuerimus amicitiam, quas ad res uti nobis voles? Beneficia, respondit Cyrus, conferre et vicissim accipere *volo.* Quærebant iterum Ægyptii, Quæ beneficia? Ad hoc Cyrus, Stipendium vobis, ait, illo majus dedero, quod nunc accipitis, quamdiu bellum geretur: pace verò factâ, cuicunque vestrûm mecum manere libuerit, ei et agros, et oppida, et uxores, et famulos donabo. His auditis oraverunt Ægyptii, *hoc unum* exciperetur, nè adversùs Crœsum cum eo militarent: (quippe quòd illi soli se ignoscere dicerent) de cæteris iis *cum Cyro* convenit, dederúntque *adeò* et acceperunt fidem. Et qui tunc manserunt Ægyptii, nunc quoque regis in fide permanent. dedítque Cyrus eis urbes in regione superiori, quæ hâc etiam tempestate urbes Ægyptiorum adpellantur, et Larissam et Cyllenem, propter Cymen,

a Τούτῳ γὰρ μόνῳ, &c.] Ità libri ad hunc diem editi; nec aliter MS. Bodl. nisi quòd vitiosè repræsentet γιγνώσκεσθαι pro συγγιγνώσκεσθαι. *Muretus*, abdicatâ receptâ hactenus scripturâ, legendum censet, τοῦτο γὰρ μόνον συγγιγνώσκετε ἔφασαν, *Hujus unius, inquiebant, rei nobis gratiam facite, hanc veniam date.* Nec prorsùs improbanda nobis est hæc interpretatio; secundùm quam τούτῳ μόνῳ, vel τοῦτο μόνον ex mente *Mureti*, ad *rem*, non ad *personam*, referuntur. Nolim tamen συγγιγνώσκεσθαι in συγγιγνώσκετε mutatum; cùm in præcedentibus Ægyptii Cyrum solum per internuntios adloquuntur, Ἀκούσαντες ταῦτα ἐπήροντο, Ἢν δὲ γενώμεθά σοι φίλοι, τί ἡμῖν ἀξιώσεις χρῆσθαι; Sed *Philelphus* etiam et *Gabrielius* hunc locum ità acceperunt, quasi hoc modo legissent: prior vertit, *hanc unam veniam sibi dari postulârunt:* hic, *hanc modò veniam,* &c. Ad verbum magis interpreteris: *in hoc enim solo sibi veniam dari dixerunt,* i. e. *in hâc unâ re.*

b Κύμην] *Gabrielius, Cymam;* cùm debuisset, *Cymen.* Verùm graviùs in hoc vertendo nomine tum Xenophontis cæteri omnes, tum Strabonis, Herodoti, aliorúmque interpretes hallucinati sunt; cùm id passim vertant *Cuma.* Hos meritò castigat Laur. Theod. Gronovius *Marmor. Bas.* c. 24. Stephanus Byz. Κύμη, πόλις Αἰολίδος πρὸ τῆς Λέσβου, ἀπὸ Κύμης Ἀμαζόνος, &c. Mela de *Æolide*, lib. 1. c. 18. *Primam urbium à Myrino conditore Myrinam vocant: sequentem Pelops statuit, victo Oenomao reversus ex Græciâ: Cymem nominavit, pulsis qui habitârant, dux Amazonum Cyme.* Plin. H. N. l. 5. c. 30. de eâdem regione

καὶ νῦν οἱ ἀπ' ἐκείνων ἔχεσι. Ταῦτα διαπραξάμενος ὁ Κῦρος, ἤδη σκοταῖος ἀναγαγὼν ἐςρατοπεδεύσατο ἐν Θυριβάροις.

Ἐν δὲ τῇ μάχῃ τῶν μὲν πολεμίων Αἰγύπτιοι μόνοι εὐδοκίμησαν, τῶν δὲ σὺν Κύρῳ τὸ Περσῶν ἱππικὸν κράτιςον ἔδοξεν εἶναι· ὥςτε καὶ νῦν διαμένει ἡ ὅπλισις, ἣν τότε Κῦρος τοῖς ἱππεῦσι κατεσκεύασεν. Εὐδοκίμησε δὲ ἰσχυρῶς καὶ τὰ δρεπανηφόρα ἅρματα· ὥςτε καὶ τῦτο ἔτι καὶ νῦν διαμένει τὸ πολεμιςήριον τῷ ἀεὶ βασιλεύοντι. Αἱ μέντοι κάμηλοι ἐφόβυν μόνον τὺς ἵππυς, ὐ μέντοι κατέκαινόν γε οἱ ἐπ' αὐτῶν ἱππεῖς, ὐδ' αὐτοί γε ἀπέθνησκον ὑπὸ ἱππέων· ὐδεὶς γὰρ ἵππος ἐπέλαζε. Καὶ χρήσιμον μὲν ἐδόκει εἶναι· ἀλλὰ γὰρ ὔτε τρέφειν ὐδεὶς ἐθέλει καλὸς κἀγαθὸς κάμηλον ὥςτ' ἐποχεῖσθαι, ὔτε μελετᾷν ὡς πολεμήσων ἀπὸ τύτων. Οὕτω δὲ ἀπολαβῦσαι πάλιν τὸ ἑαυτῶν σχῆμα, ἐν τοῖς σκευοφόροις διάγυσι. Καὶ οἱ μὲν ἀμφὶ τὸν Κῦρον, δειπνοποιησάμενοι καὶ φυλακὰς καταςησάμενοι, ὥςπερ ἔδει, ἐκοιμήθησαν.

[a] Κροῖσος μέντοι εὐθὺς ἐπὶ Σάρδεων ἔφευγε σὺν τῷ ςρατεύματι· τὰ δ' ἄλλα φῦλα ὅποι ἐδύνατο προσωτάτω ἐν τῇ νυκτὶ τῆς ἐπ' οἶκον ὁδῦ ἕκαςος ἀπεχώρει. Ἐπειδὴ δὲ ἡμέρα ἐγένετο, εὐθὺς ἐπὶ Σάρδεις ἦγεν ὁ Κῦρος. [b] Ὡς δ' ἐγένετο πρὸς τῷ τεί-

haud procul á mari, quas etiam nunc illorum posteri possident. His rebus confectis, Cyrus jam sub ipsas noctis tenebras reversus, Thyribaris castra locavit.

In hoc autem prælio soli ex hostibus Ægyptii gloriam consequuti sunt, et ex iis qui cum Cyro erant, equestres Persarum copiæ visæ sunt esse præstantissimæ: adeò ut illa nunc etiam armatura duret, quâ tunc equites à Cyro instructi fuêre. Præthereà currus illi falcati vehementer erant comprobati: adeò ut hoc etiam tempore bellicum illud curruum genus apud quemque *Persarum* regem vigeat. At cameli equis terrori duntaxat fuerunt: neque verò ipsis insidentes ex equitibus quenquam interemerunt, neque ii ab equitibus occisi erant: nullus enim *ad eos* equus propiùs accedebat. Idque *tum* quidem utile esse visum est; sed nemo tamen virorum fortium et egregiorum vel alere camelum vult, ut eo vehatur: vel ad pugnandum ex his semet exercere. Itaque receptâ formâ suâ *cultûque pristino*, inter impedimenta *jam* degunt. Et Cyri quidem milites, ubi cœnâssent et excubias constituissent, utì par erat, quieti se dederunt.

At Crœsus statim Sardes cum exercitu profugit: cæteræ nationes, quàm remotissimè quisque poterat, initâ domum quæ duceret viâ, nocte eâ discedebant. Cùm autem illuxisset, Cyrus confestim Sardes versùs *suos* duxit.

loquens, conjungit itidem *Larissam*, *Cymen*, *Myrinam*. Lege et Herodot. lib. 1. c. 149. Strab. lib. 13. p. 923. Liv. lib. 37. c. 11. Vellei. lib. 1. c. 4.

a Κροῖσος μέντοι, &c.] Vide sis *Herodot.* lib. 1. c. 77.

b Ὡς δ' ἐγένετο] Leunclavius et Alius, (quem exemplar illius, vitiis imitabile

χει τῷ ἐν Σάρδεσι, τάς τε μηχανὰς ἀνίςη ὡς προςβαλὼν πρὸς τὸ τεῖχος, καὶ κλίμακας παρεσκευάζετο. Ταῦτα δὲ ποιῶν κατὰ τὰ ἀποτομώτατα δοκῦντα εἶναι τῶν Σαρδιανῶν ἐρύματα, τῆς ἐπιύσης νυκτὸς ἀναβιβάζει Χαλδαίυς τε καὶ Πέρσας. Ἡγήσατο δ' αὐτοῖς ἀνὴρ Πέρσης, δῦλος γεγενημένος τῶν ἐν τῇ ἀκροπόλει τινὸς φρυρῶν, καὶ καταμεμαθηκὼς κατάβασιν εἰς τὸν ποταμὸν καὶ ἀνάβασιν τὴν αὐτήν. Ὡς δὲ ἐγένετο τῦτο δῆλον ὅτι εἴχετο τὰ ἄκρα, πάντες δὴ ἔφευγον οἱ Λυδοὶ ἀπὸ τῶν τειχῶν ὅπη ἠδύνατο ἕκαςος. Κῦρος δὲ ἅμα τῇ ἡμέρᾳ εἰςήει εἰς τὴν πόλιν, καὶ παρήγγειλεν ἐκ τῆς τάξεως μηδένα κινεῖσθαι. Ὁ δὲ Κροῖσος κατακλεισάμενος ἐν τοῖς βασιλείοις, Κῦρον ἐβόα· ὁ δὲ Κῦρος τῦ μὲν Κροίσυ φύλακας κατέλιπεν, αὐτὸς δὲ ἀπαγαγὼν πρὸς τὴν ἐχομένην ἄκραν, ὡς εἶδε τὺς μὲν Πέρσας φυλάσσοντας τὴν ἄκραν ὥσπερ ἔδει, [a] τὰ δὲ τῶν Χαλδαίων ὅπλα ἔρημα, (καταδεδραμήκεσαν γὰρ ἁρπασόμενοι τὰ ἐκ τῶν οἰκιῶν) εὐθὺς συνεκάλεσεν αὐτῶν τὺς ἄρχοντας, καὶ εἶπεν αὐτοῖς ἀπιέναι ἐκ τῦ ςρατεύματος τάχιςα. Οὐ γὰρ ἂν, ἔφη, ἀνασχοίμην πλεονεκτῦντας ὁρῶν τὺς ἀτακτῦντας. Καὶ εὖ μὲν, ἔφη, ἐπίςασθε ὅτι παρεσκευαζόμην

Atque ubi ad Sardium mœnia pervenit, et machinas erexit quasi facturus in muros impetum, et scalas paravit. Ea dum faceret, ut in munitiones Sardianorum, quâ parte maximè præruptæ videbantur, sequenti nocte Chaldæi ac Persæ adsenderent, effecit. His ductor erat Persa quidam, qui cujusdam ex arcis custodibus præsidiariis servus fuerat, et descensum ad flumen et adscensum itidem didicerat. Cûm cognitum esset arcem esse occupatam, Lydi omnes à muris diffugerunt quò quisque poterat. Cyrus primâ luce oppidum ingressus est, et nè quis sese ex loco moveret, edixit. Crœsus autem, seipso in regiâ incluso, Cyrum inclamabat: at Cyrus Crœsum qui custodirent reliquit; ipséque ad arcem occupatam profectus, cùm Persas arcem, ut oportebat, custodire videret, Chaldæorum verò arma sola conspiceret (quòd illi ad diripienda ex ædibus bona excurrissent) mox præfectos eorum convocavit, eisque ut ab exercitu quamprimùm discederent, præcepit. Non enim, ait, tolerare possim, ut qui ordines deserunt, majoribus quàm alii commodis potiantur. Et vos quidem, ait, certò scire volo,

solet decipere) exhibent, ὁ δ' ἐγένετο, &c. re ipsâ reclamante, invitisque adeò cæteris libris, quos vidi, omnibus.

a Τὰ δὲ τῶν Χαλδαίων, &c.] *Muretus* hæc verba sic vertenda censet, *Chaldæorum autem tentoria deserta*. Vult enim ὅπλα dici non *arma* tantùm, sed eum quoque locum, in quo milites tendunt, in quo consistunt interquiescendi causâ. Hanc vocis istius interpretationem locis aliquot adductis, in quibus ὅπλα θέσθαι dicuntur milites, cùm locum sibi sumunt, ubi consistant, confirmare nititur. Quæ verò adducit loca extant ἀναβ. lib. 4. p. 190. 192. et passim alibi. Quibus, si libet, addas licet quæ occurrunt apud *Dionys. Halic.* Antiq. Rom. lib. 3. c. 57. lib. 9. c. 23. et sæpè alibi. Nec quisquam, opinor, negaverit τὰ ὅπλα τίθεσθαι pro ςρατοπεδεύεσθαι apud Historicos Græcos passim usurpari. At quâ ratione hinc effici possit, ὅπλα per se posita pro *tentoriis* accipi debere, haud equidem video. Quàm rectè igitur vocem istam sic exposuit *Muretus*, aliorum sit judicium.

ἐγὼ ὑμᾶς τοὺς ἐμοὶ συστρατευομένους πᾶσι Χαλδαίοις μακαριστοὺς ποιῆσαι· νῦν δ', ἔφη, μὴ θαυμάζετε, ἤν τις καὶ ἀπιοῦσιν ὑμῖν κρείττων ἐντύχῃ. Ἀκούσαντες ταῦτα οἱ Χαλδαῖοι ἔδεισάν τε καὶ ἱκέτευον παύσασθαι ὀργιζόμενον, καὶ τὰ χρήματα πάντα ἀποδώσειν ἔφασαν. Ὁ δὲ εἶπεν ὅτι οὐδὲν αὐτῶν δέοιτο· Ἀλλ' εἴ με, ἔφη, βούλεσθε παύσασθαι ἀχθόμενον, ἀπόδοτε πάντα ὅσα ἐλάβετε τοῖς διαφυλάξασι τὴν ἄκραν. Ἢν γὰρ αἴσθωνται οἱ ἄλλοι στρατιῶται ὅτι πλεονεκτοῦσιν οἱ εὔτακτοι γενόμενοι, πάντα μοι καλῶς ἕξει. Οἱ μὲν δὴ Χαλδαῖοι οὕτως ἐποίησαν, ὡς ἐκέλευσεν ὁ Κῦρος· καὶ ἔλαβον οἱ πειθόμενοι πολλὰ καὶ παντοῖα χρήματα· ὁ δὲ Κῦρος καταστρατοπεδεύσας τοὺς ἑαυτοῦ ὅπου ἐδόκει τὸ ἐπιτηδειότατον εἶναι [a] τῆς πόλεως, μένειν ἐπὶ τοῖς ὅπλοις παρήγγειλε καὶ ἀριστοποιεῖσθαι.

Ταῦτα διαπραξάμενος, ἀγαγεῖν ἐκέλευσεν αὐτῷ τὸν Κροῖσον. Ὁ δὲ Κροῖσος ὡς εἶδε τὸν Κῦρον, Χαῖρε, ὦ δέσποτα, ἔφη· τοῦτο γὰρ ἡ τύχη καὶ ἔχειν τὸ ἀπὸ τοῦδε δίδωσί σοι, καὶ ἐμοὶ, προσαγορεύειν. Καὶ σύ γε, ἔφη, ὦ Κροῖσε· ἐπείπερ ἄνθρωποι ἐσμὲν ἀμφότεροι. Ἀτὰρ, ἔφη, ὦ Κροῖσε, [b] ἆρ' ἄν τι μοι ἐθελήσαις συμβουλεῦσαι; Καὶ βουλοίμην γ' ἂν, ἔφη, ὦ Κῦρε, ἀγαθόν τι σοι εὑρεῖν· τοῦτο γὰρ ἂν οἶμαι ἀγαθὸν κἀμοὶ γενέσ-

in hoc me fuisse, ut vos qui signa mea sequimini, tales efficerem, quos universi Chaldæi felices prædicarent: verùm jam vobis minimè mirum videatur, si quis vobis hinc etiam discedentibus viribus potior occurrat. Hæc Chaldæi cùm audîssent, metu perculsi orabant ut irasci desineret; aiebántque se res opésque omnes velle restituere. Ille his sibi non opus esse dixit: Sed si me vultis, ait, ab indignatione desistere, date omnia, quæcunque cepistis, illis qui arcis in custodiâ mansêre. Nam si milites cæteri animadvertent, eos qui ordines servârunt, majora consequi commoda, præclarè se meæ res habebunt. Itaque Chaldæi sic, utì Cyrus edixerat, fecerunt; et qui obedienter sese gesserant, magnam rerum optimque variarum copiam consequuti sunt: Cyrus autem, cùm castra pro militibus suis metatus esset eo urbis loco, qui maximè opportunus ei videbatur, *eos* in armis manere ac prandere jussit.

His perfectis, Crœsum ad se adduci præcepit. Et Crœsus ubi Cyrum vidit, Salve, inquit, domine: hoc enim *nomine* tibi ut deinceps fruaris tribuit fortuna; mihi, ut *eo te* adpellem. *Salve* tu quoque, ait, Crœse; quandoquidem homines ambo sumus. Verùm, Crœse, inquit, velísne mihi consilium dare? Etiam, Cyre, inquit, aliquid boni tibi reperire velim: nam

a Τῆς πόλεως, &c.] Ità rectè Stephanus edidit. Vulgò scribitur.——τῆς πόλεως μένειν ἐπὶ τοῖς ὅπλοις, παρήγγειλεν ἀριστοποιεῖσθαι. Sed et Leunclavius vidit eo quo reposuimus modo rectiùs scribi: mutatâ scil. distinctione et copulâ ϗ adjectâ, quam, teste Leunclavio, Budensis etiam liber habet.

b Ἄρ' ἄν τι, &c.] Lege *Herodot.* lib. 1. c. 88. et seq.

θαι. Ἄκουσον τοίνυν, ἔφη, ὦ Κροῖσε· ἐγὼ γὰρ ὁρῶν τοὺς στρατιώτας πολλὰ πεπονηκότας, καὶ πολλὰ κεκινδυνευκότας, καὶ νῦν νομίζοντας πόλιν ἔχειν [a] τὴν πλουσιωτάτην ἐν τῇ Ἀσίᾳ, μετὰ Βαβυλῶνα, [b] ἀξιῶ ὠφεληθῆναι τοὺς στρατιώτας. Γινώσκω γάρ, ἔφη, ὅτι εἰ μή τινα καρπὸν λήψονται τῶν πόνων, οὐ δυνήσομαι αὐτοὺς πολὺν χρόνον πειθομένους ἔχειν. Διαρπάσαι μὲν δὴ αὐτοῖς ἐφεῖναι τὴν πόλιν οὐ βούλομαι· τήν τε γὰρ πόλιν νομίζω ἅμα διαφθαρῆναι, ἔν τε τῇ ἁρπαγῇ εὖ οἶδ' ὅτι [c] οἱ πονηροὶ πλεονεκτήσειαν ἄν. Ἀκούσας ταῦτα ὁ Κροῖσος ἔλεξεν, Ἀλλ' ἐμέ, ἔφη, ἔασον λέξαι πρὸς οὓς ἂν ἐγὼ Λυδῶν ἐθέλω, ὅτι διαπέπραγμαι παρὰ σοῦ μὴ ποιῆσαι ἁρπαγήν, μηδὲ ἐᾶσαι ἀφα-

idem arbitrarer etiam mihi fructuosum fore. Audi ergo, Crœse, inquit: quia video milites multis laboribus perfunctos, multísque versatos in periculis, nunc etiam putare se urbe *totius* Asiæ, post Babylonem, opulentissimâ potitos; æquum judico, ut aliquid utilitatis ad eos perveniat. Nam futurum intelligo, ut nisi quem laborum suorum fructum percipiant, dicto eos audientes, diu non sim habiturus. Sed urbem tamen eis diripiendam concedere non est animus: nam et urbs, meâ sententiâ, prorsùs interiret, et in direptione plurimum utilitatis caperent, qui maximè sunt improbi. Quæ ubi Crœsus audîsset, Me verò dicere sinito Lydis, ait, quibus ego voluero, impetrâsse me abs te, nè direptio fiat, néve permittatur ut liberi et conjuges

a Τὴν πλουσιωτάτην, &c.] Cyrus reconditis iis potiri jam incipit thesauris, quos Deus per Prophetam *Isaiam* c. xlv. ver. 3. ei se daturum olim promiserat. Alterâ scilicet ex opulentissimis, quotquot usquam gentium fuerunt id ætatis, urbibus expugnatâ, mox alteram, somno vinóque sepultam, pari invasurus est successu. *Herodot.* l. 1. c. 29. Σάρδεις ἀκμάζουσαι πλούτῳ. *Strabo* lib. 13. T. 2. p. 928. Αἱ δὲ Σάρδεις πόλις ἐστὶ μεγάλη, &c. et eod. lib. p. 930, 931. *Plin.* H. N. lib. 5. c. 29. *Celebratur* (Lydia) *maxime Sardibus in latere Tmoli montis.* Vide *Polyæn.* lib. 7. c. 6. Accidit autem hæc Sardium expugnatio an. M. 3456. P. J. 4166. ante æram Christ. 548.

b Ἀξιῶ ὠφεληθῆναι τοὺς, &c.] Ità MS. Bodl. et edit. *Leuncl. Ald. Eton.* aliæque. Eandem lectionem *Philelphus* in suo etiam libro invenit. *Gabrielius* ex suis exemplaribus hanc scripturam adfert —— ὠφεληθῆναι· γινώσκω γάρ, &c. quam secutus est Stephanus. Miror tamen hunc de omissis vocibus istis, τοὺς στρατιώτας, contra plurium librorum fidem, nè unum quidem addidisse verbum. *Mureto* quoque vulgata displicet scriptura; atque adeò pro τοὺς, scribendum αὐτοὺς, et vocem στρατιώτας delendam censet. Utcunque verò vocum istarum, τοὺς στρατιώτας, ingrata videatur repetitio, eas tamen temerè sublatas nollim. Rectè enim Cl. *Hemsterhusius* ad Joh. v. 36. notat, Auctores ejusmodi repetitione uti, cùm persona vel res, de quâ loquuntur, per interjectionem plurium commatum, remotior est; quo casu, plerumque solemus verbum αὐτὸς vel pronomen aliud demonstrativum adhibere ad indicandam rem, de quâ loquimur, Æli. V. H. l. 8. c. 9. Ἀρχέλαον —— Κρατεύας —— ἀπέκτεινε τὸν ἐραστὴν, ὁ Κρατεύας Ἀρχέλαον. Idem. l. 9. c. 4. ἐζηλοτύπησε δὲ Πολυκράτης, ὅτι τὸν Σμερδίην —— καὶ ἀπέκειρε τὸν παῖδα ὁ Πολυκράτης. Vide etiam l. 10. c. 22.

c Οἱ πονηροὶ πλεονεκτήσειαν ἄν.] MS. Bodl. οἱ πονηρότατοι. Sed positivum et superlativum pro se invicem usurpari docent passim Grammatici. Confer. Mat. xxii. 36. ubi frustra sunt *Maldonatus*, et *Vorstius* Philol. Sacr. par. 2. p. 3. et seq. qui μεγάλη, pro μεγίστη, per Hebraismum poni putant. Sententiam verò ipsam illustrant hæc verba *Demosthenis*: Ἰταμὸν γὰρ ἡ πονηρία, καὶ τολμηρὸν, καὶ πλεονεκτικόν· καὶ τοὐναντίον ἡ καλοκαγαθία ἡσύχιον, καὶ ὀκνηρὸν, καὶ βραδὺ, καὶ δεινὸν ἐλαττοῦσθαι. Orat. pri. in *Aristogeit.* p. 831, 832. edit Francf.

δισθῆναι παῖδας καὶ γυναῖκας· ὑπεσχόμην δέ σοι ἀντὶ τούτων ἦ μὴν παρ' ἑκόντων Λυδῶν ἔσεσθαι πᾶν ὅ,τι καλὸν κἀγαθόν ἐστιν ἐν Σάρδεσιν. Ἢν γὰρ ταῦτα ἀκούσωσιν, [a]οἶδ' ὅτι ἄξουσι πᾶν ὅ,τι ἐστὶν ἐνθάδε καλὸν κτῆμα ἀνδρὶ καὶ γυναικί· καὶ ὁμοίως εἰς νέωτα πολλῶν καὶ καλῶν πάλιν σοι πλήρης ἡ πόλις ἔσται. Ἢν δὲ διαρπάσῃς, καὶ αἱ τέχναι σοι, ἅς πηγάς φασι τῶν καλῶν εἶναι, διεφθαρμέναι ἔσονται. [b]Ἐξέσται δέ σοι ἰδόντι ταῦτα, ἐλθόντι ἔτι καὶ περὶ τῆς ἁρπαγῆς βουλεύσασθαι. Πρῶτον δὲ, ἔφη, ἐπὶ τοὺς ἐμοὺς θησαυροὺς πέμπε, καὶ παραλαμβανέτωσαν οἱ σοὶ φύλακες παρὰ τῶν ἐμῶν φυλάκων. Ταῦτα μὲν δὴ ἅπαντα οὕτω συνῄνεσε ποιεῖν ὁ Κῦρος, ὥσπερ ἔλεξεν ὁ Κροῖσος·

Τάδε δέ μοι, ἔφη, πάντως, ὦ Κροῖσε, λέξον, πῶς ἀποβέβηκε τὰ ἐκ τοῦ [c]ἐν Δελφοῖς χρηστηρίου· σοὶ γὰρ δὴ λέγεται πάνυ τεθεραπεῦσθαι ὁ Ἀπόλλων, καὶ σὲ πάντα ἐκείνῳ πειθόμενον πράττειν. Ἐβουλόμην δ' ἄν, ἔφη, ὦ Κῦρε, οὕτως ἔχειν· νῦν δὲ πάντα τἀναντία εὐθὺς ἐξ ἀρχῆς πράττων [d]προσηνέχθην τῷ

ab eorum conspectu abstrahantur: próque hoc tibi pollicitum esse, futurum omnino, ut Lydi tibi libentes offerant, quidquid Sardibus pulchrum et præclarum sit. Nam si hæc audierint, adlaturos scio quidquid pulchræ rei vir aut mulier hìc habuerit: itidémque alterum in annum multis ac pulchris rebus iterum urbs tibi referta erit. Quòd si *eam* diripueris, etiam artificia tibi, quæ bonorum fontes esse perhibent, perierint. Prætereà licet tibi, postquam hæc intuitus sis, *huc* etiam redire déque direptione consultare. Primùm autem, inquit, ad meos thesauros mittito, atque *hos* à custodibus meis tui custodes accipiant. Et hæc quidem omnia sic fieri censuit oportere Cyrus, utì Crœsus dixerat:

At ista mihi, Crœse, inquit, omnino memorato, quonam evaserint, quæ Delphico *tibi* sunt oraculo prodita: nam fertur *is* Apollo admodùm abs te cultus, téque *fertur* omnia sic agere, ut illi obtemperes. Vellem, inquit, Cyre, sic comparatæ res essent: nunc verò eum me Apollini exhibui, qui

a Οἶδ' ὅτι ἄξουσι] Vulgò, ἥξουσι. Quo modo cùm parum commodè scribi videret Stephanus, adjiciendum φέροντες vel ἄγοντες, vel utrumque putabat. Mihi verò mutatione unius literæ rectiùs huic loco consuli posse visum est. Nec aliter restituendum ante nos monuerunt Leunclavius et Muretus.

b Ἐξέσται δέ σοι] In MSto Bodl. reperitur, Ἐδέξαι, &c. quod reponendum, delendúmque ἐλθόντι, quod mox sequitur, censet Muretus. Sed nobis haud ità displicet vulgata lectio, ut eam contra aliorum librorum fidem immutaremus.

c Ἐν Δελφοῖς] *Delphi*, oppidum nobilissimum Phocidis, templo (quod Agamedes et Trophonius exædificavisse traduntur Ciceroni *Tusc. disp.* lib. 1. c. 47.) et oraculis celeberrimum. De situ urbis et primâ templi structurâ vide *Pausan.* in Phocicis p. 618, 619. Phœbum à Constantino tandem M. ex adyto suo extractum fuisse, tripode Constantinopolin lato, tradit *Socrates* Histor. Eccles. lib. 1. c. 16.

d Προσηνέχθην τῷ, &c.] Elegans loquendi genus est προσφέρεσθαί τινι, pro *versari cum aliquo et se* ποιόν τινα *ei præbere*. Vide Heb. xii. 7. ubi phraseos hujusce vis plerosque latuit interpretes.

Ἀπόλλωνι. Πῶς δέ; ἔφη ὁ Κῦρος, δίδασκε· πάνυ γὰρ παράδοξα λέγεις. Ὅτι πρῶτον μὲν, ἔφη, ἀμελήσας ἐρωτᾷν τὸν θεὸν εἴ τι ἐδεόμην, [a] ἀπεπειρώμην αὐτοῦ εἰ δύναιτο ἀληθεύειν. Τοῦτο δὲ μὴ ὅτι ὁ θεὸς, ἔφη, ἀλλὰ καὶ ἄνθρωποι καλοὶ κἀγαθοὶ, ἐπειδὰν γνῶσιν ἀπιστούμενοι, οὐ φιλοῦσι τοὺς ἀπιστοῦντας. [b] Ἐπεὶ μέντοι ἔγνων καὶ μάλα ἄτοπα ἐμοῦ ποιοῦντος, καὶ πρόσω Δελφῶν ἀπέχοντος, οὕτω δὴ πέμπω περὶ παίδων. Ὁ δέ μοι τὸ μὲν πρῶτον οὐδ' ἀπεκρίνατο· ἐπεὶ δ' ἐγὼ [c] πολλὰ μὲν πέμπων ἀναθήματα χρυσᾶ, πολλὰ δ' ἀργυρᾶ, πάμπολλα δὲ θύων, ἐξιλασάμην ποτὲ αὐτὸν, ὡς ἐδόκουν, τότε δή μοι ἀποκρίνεται ἐρωτῶντι τί ἂν μοι ποιήσαντι παῖδες γένοιντο· ὁ δὲ εἶπεν ὅτι ἔσοιντο. Καὶ ἐγένοντο μὲν, (οὐδὲ γὰρ οὐδὲ τοῦτο ἐψεύσατο) γενόμενοι δὲ οὐδὲν ὤνησαν. Ὁ μὲν γὰρ, κωφὸς ὢν διετέλει· ὁ δὲ, ἄριστος γενόμενος, ἐν ἀκμῇ τοῦ βίου ἀπώλετο. Πιεζόμενος δὲ ταῖς περὶ τοὺς παῖδας συμφοραῖς, πάλιν πέμπω, καὶ ἐπερωτῶ τὸν θεὸν τί ἂν ποιῶν τὸν λοιπὸν βίον εὐδαιμονέστατα διατελέσαιμι· ὁ δέ μοι ἀπεκρίνατο, [d] ΣΑΥΤΟΝ ΓΙΝΩΣΚΩΝ, 'ΕΥΔΑΙΜΩΝ, ΚΡΟΙΣΕ, ΠΕΡΑΣΕΙΣ. [e] Ἐγὼ δὲ ἀκούσας τὴν μαντείαν

contraria omnia statim ab initio facerem. Quomodo vero? ait Cyrus, edoce: nam valdè *quidem* mira refers. Primùm, ait, posthabitâ curâ interrogandi deum si quâ re mihi opus esset, periculum feci, an vera respondere posset. At non solùm deus, inquit, sed homines etiam honesti ac boni, cùm fidem non haberi sibi animadvertunt, haud amant diffidentes. Cùm verò animadverterem absurdè admodùm me agere, ac procul Delphis abessem, mitto de liberis interrogatum. Ille mihi primùm nè respondit quidem: ubi verò missis multis donariis aureis, argenteis etiam multis, permultísque cæsis hostiis, tandem eum aliquando placavi, utì *quidem* ipse arbitrabar, tunc mihi quærenti quid faciendum esset, ut liberi mihi nascerentur: respondit ille, habiturum me liberos. Ac nati quidem mihi sunt, (quippe nec in hoc mentitus est) sed nati nulli usui fuêre. Nam alter *eorum* mutus mansit; alter, qui præstantissimus extitit, in ipso ætatis flore periit. Cùm his liberorum calamitatibus premerer, iterum mitto, deímque interrogo, quid à me fieri oporteret, ut id quod esset vitæ reliquum exigere felicissimè possem: respondit ille mihi, SI TE NOSCAS, CROESE, VITAM FELICITER TRANSIBIS. Hoc audito oraculo, gavisus sum: arbitrabar enim eum

a 'Απεπειρώμην αὐτοῦ, &c.] Lege *Herodot.* lib. 1. c. 47 et 48.

b 'Επεὶ μέντοι ἔγνων] Ità rescripsimus ex consentientibus Stephani et Leunclavii conjecturis. Priùs legebatur ἔγνω.

c Πολλὰ μὲν, &c.] Vide sis *Herodot.* lib. i. c. 50, 51. et de Crœsi filiis c. 43, 85. necnon *A. Gell.* lib. 5. c. 9.

d ΣΑΥΤΟΝ, &c.] Vim præcepti istius, γνῶθι σεαυτὸν, in hunc modum interpretatur Cicero *Tusc. disp.* lib. 1. c. 22. *Nosce animum tuum*, h. e. explora et considera tuam imbecillitatem. Vide porrò, si tanti sit, quæ de eodem præcepto congessit *Stobæus* serm. 21.

e 'Εγὼ δὲ ἀκούσας, &c.] Legitur etiam ἐπεὶ δὲ ἀκούσας, vel ἐπεὶ δὲ ἤκουσα. Sed Stephanum omnino sequendum duxi; qui pro lectionibus istis, ex vet. exempl. auctoritate substituit, ἐγὼ δὲ ἀκούσας. Eandem lectionem ex vetustis suis exemplaribus adfert *Gabrielius*.

ἤσθην· ἐνόμιζον γὰρ τό γε ῥᾷςόν μοι αὐτὸν προςτάξαντα, τὴν εὐδαιμονίαν διδόναι. Ἄλλους μὲν γὰρ γινώσκειν τοὺς μὲν οἷόν τ' εἶναι, τοὺς δ' οὔ· ἑαυτὸν δὲ ὅςτις ἐςὶ, πάντα τινὰ ἐνόμιζον ἄνθρωπον εἰδέναι. Καὶ τὸν μετὰ ταῦτα δὴ χρόνον, ἕως μὲν εἶχον ἡσυχίαν, οὐδὲν ἐνεκάλουν μετὰ τὸν τοῦ παιδὸς θάνατον ταῖς τύχαις. Ἐπειδὴ δὲ ἀνεπείσθην ὑπὸ τοῦ Ἀσσυρίου ἐφ' ὑμᾶς ςρατεύεσθαι, εἰς πάντα κίνδυνον ἦλθον· [a] ἐσώθην μέντοι οὐδὲν κακὸν λαβών. Οὐκ αἰτιῶμαι δὲ οὐδὲ τάδε τὸν θεόν. Ἐπεὶ γὰρ ἔγνων ἐμαυτὸν μὴ ἱκανὸν ὑμῖν μάχεσθαι, ἀσφαλῶς σὺν τῷ θεῷ ἀπῆλθον, ϗ αὐτὸς ϗ οἱ σὺν ἐμοί. Νῦν δ' αὖ πάλιν ὑπό τε πλούτου τοῦ παρόντος διαθρυπτόμενος, καὶ ὑπὸ τῶν δεομένων μου προςάτην γενέσθαι, ϗ ὑπὸ τῶν δώρων ὧν ἐδίδοσάν μοι, καὶ ὑπ' ἀνθρώπων, οἵ με κολακεύοντες ἔλεγον ὡς εἰ ἐγὼ ἐθέλοιμι ἄρχειν, πάντες ἂν ἐμοὶ πείθοιντο, καὶ μέγιςος ἂν εἴην ἀνθρώπων· ὑπὸ τοιούτων δὴ λόγων ἀναφυσώμενος, ὡς εἵλοντό με πάντες οἱ κύκλῳ βασιλεῖς προςάτην τοῦ πολέμου, ὑπεδεξάμην τὴν ςρατηγίαν, ὡς ἱκανὸς ὢν μέγιςος γενέσθαι· ἀγνοῶν ἄρα ἐμαυτὸν, ὅτι σοι ἀντιπολεμεῖν ἱκανὸς ᾤμην εἶναι, πρῶτον μὲν ἐκ θεῶν γεγονότι, ἔπειτα δὲ διὰ βασιλέων πεφυκότι, ἔπειτα δ' ἐκ παιδὸς ἀρετὴν ἀσκοῦντι· [b] τῶν δ' ἐμῶν προγόνων ἀκούω τὸν πρῶτον βασιλεύσαντα

felicitatem mihi tribuere, rem facillimam imperando. Nam alios partim cognosci posse, partim non: quis verò sit ipsemet, quemlibet hominem scire putabam. Omníque adeò deinceps tempore, quamdiu quietem colui, nihil erat post mortem filii, quamobrem casus fortuitos culparem. Verùm posteaquam ab Assyrio sum persuasus, ut expeditionem adversùs vos susciperem, omnis generis adii pericula; nec ullo tamen accepto malo servatus sum. Ac nè de his quidem deum incuso. Nam ubi me ad pugnandum adversùs vos idoneum non esse animadverti, tutò, dei ope, tum ipse tum mei *mecum* evasimus. Sed rursùm nunc deliciis opulentiæ presentis diffluens, et ob eorum preces qui me rogabant ut eis præessem, et ob illa munera quæ mihi donabant, et illorum hominum operâ, qui mihi adsentando futurum dicebant ut omnes mihi parerent, et *omnium ego* mortalium maximus evaderem, modò cum imperio esse vellem; ejusmodi *inquam* verbis inflatus, ubi reges omnes undique belli me præsidem legerunt, suscepi munus imperatorium, quasi essem is, qui maximus evadere possem; meipsum certè ignorans, qui bello adversùs te gerendo parem me tibi arbitrarer, primùm ex diis genito, deinde regibus orto, atque etiam à puero ad virtutem exercitato: at ex majoribus meis eum, qui primus regno potitus est, audio simul

a Ἐσώθην μέντοι, &c.] Lege, si placet, *Diodor. Sic.* lib. 13. p. 151.

b Τῶν δ' ἐμῶν, &c.] An. M. 3286. J. P. 3996. ante ær. Christ. 718. ab Heraclidis Lydorum regnum ad Crœsi genus, qui vocabantur Mermnadæ, translatum est. Gygem, (cujus abnepos erat Crœsus) Candaulis Heraclidarum novissimi satellitem, vitam simul et regnum huic eripuisse tradit *Herodotus* lib. 1. c. 7, et seq. Et

ἅμα τε βασιλέα ϰ̀ ἐλεύθερον γενέσθαι. Ταῦτ' ἂν ἀγνοήσας, δικαίως, ἔφη, ἔχω τὴν δίκην. Ἀλλὰ νῦν δ', ἔφη, ὦ Κῦρε, γινώσκω μὲν ἐμαυτόν· σὺ δ' ἔτι δοκεῖς ἀληθεύειν τὸν Ἀπόλλω, ὡς εὐδαίμων ἔσομαι γινώσκων ἐμαυτόν; Σὲ δ' ἐρωτῶ διὰ τοῦτο, ὅτι ἄρισ' ἄν μοι δοκεῖς εἰκάσαι τοῦτο ἐν τῷ παρόντι· καὶ γὰρ δύνασαι ποιῆσαι. Καὶ ὁ Κῦρος εἶπε, Βουλήν μοι δὸς περὶ τούτου, ὦ Κροῖσε· ἐγὼ γάρ σου ἐννοῶν τὴν πρόσθεν εὐδαιμονίαν, οἰκτείρω τέ σε, καὶ ἀποδίδωμι ἤδη γυναῖκά τε ἔχειν, ἣν εἶχες, καὶ τὰς θυγατέρας, (ἀκούω γάρ σοι εἶναι) καὶ τοὺς φίλους, καὶ τοὺς θεράποντας, [a] καὶ τράπεζαν σὺν οἷάπερ ἐζῆτε· μάχας δέ σοι καὶ πολέμους ἀφαιρῶ. Μὰ Δία μηδὲν τοίνυν, ἔφη ὁ Κροῖσος, σὺ ἐμοὶ ἔτι βουλεύου ἀποκρίνασθαι περὶ τῆς ἐμῆς εὐδαιμονίας· ἐγὼ γὰρ ἤδη σοι λέγω, ἢν ταῦτά μοι ποιήσῃς ἃ σὺ λέγεις, ὅτι ἣν ἄλλοι τε μακαριωτάτην ἐνόμιζον εἶναι βιοτὴν, καὶ ἐγὼ συνεγίνωσκον αὐτοῖς, ταύτην καὶ ἐγὼ νῦν ἔχων διάξω. Καὶ ὁ Κῦρος εἶπε, [b] Τίς δὴ ὁ ἔχων ταύτην τὴν μακαρίαν βιοτήν; Ἡ ἐμὴ γυνὴ, εἶπεν, ὦ Κῦρε· ἐκείνη μὲν γὰρ τῶν ἀγαθῶν καὶ τῶν μαλακῶν καὶ εὐφροσυνῶν πασῶν ἐμοὶ τὸ ἴσον μετεῖχε· φροντίδων δὲ ὅπως ταῦτα ἔσαι, καὶ πολέμου καὶ μάχης οὐ μετῆν αὐτῇ. Οὕτω δὴ καὶ σὺ δοκεῖς ἐμὲ κατασκευάζειν, ὥσπερ ἐγὼ ἣν ἐφίλουν μάλισ' ἀνθρώπων· ὥστε τῷ Ἀπόλλωνι ἄλλα μοι δοκῶ χαρισήρια

et regnum et libertatem esse consequutum. Hæc ergo cùm ignoraverim, meritò, inquit, pœnam subeo. Nunc autem, Cyre, inquit, meipsum nosco: an tu verò adhuc veracem Apollinem existimas, qui beatum me fore dixit, si meipsum nôssem? Te autem propterea interrogo, quòd optimè conjecturam mihi de hoc facturus in præsentiâ videris: potes enim id facere. Et Cyrus, Da verò mihi, inquit, de hoc consilium, Crœse: nam ego mecum in animo considerans felicitatem tuam pristinam, misericordiâ moveor erga te, conjugémque tibi jam habere permitto, quam habuisti; et filias, (audio enim esse tibi *quasdam*) et amicos, et famulos, et mensam, quali *hactenus* estis usi: pugnas autem et bella tibi adimo. Ergo, ait Crœsus, nihil tu profectò amplius deliberes, quid mihi de meâ felicitate respondeas: etenim ipse jam tibi dico, si hæc, quæ *nunc* ais, feceris, fore ut quam alii vitam beatissimam ducere solent, etiam me adsentiente, hanc modò consequutus agam. Et Cyrus, Quis, ait, beatæ istius vitæ compos est? Uxor mea, inquit, Cyre: nam illi mecum pars æqua bonorum, et mollitiarum, et gaudiorum fuit; curarum verò quo pacto hæc contingerent, et belli et pugnæ nihil mecum ei commune fuit. Ac tu quoque me talem efficere velle videris, qualem ego illam quam *omnium* hominum maximè diligebam: adeò ut Apollini *etiam*

regiarum pecudum pastorem fuisse Gygem in lib. 2. de *Repub.* haud longè ab initio adfirmat *Plato*.

a Καὶ τράπεζαν] Hoc vocabulo victus significatur etiam Act. vi. 2.

b Τίς δὴ ὁ, &c.] Ità libri, quos vidi, omnes. *Gabrielius* in suis invenit exemplaribus, Τίς δ' ἦν ἔχων —— et mox, Ἐκείνη γὰρ τῶν μὲν ἀγαθῶν, &c. quas lectiones probat Stephanus.

ὀφειλήσειν. Ἀκούσας δὲ ὁ Κῦρος τοὺς λόγους αὐτοῦ, ἐθαύμασε μὲν τὴν εὐθυμίαν· [a] ἦγετο δὲ τὸ λοιπὸν ὅποι καὶ αὐτὸς πορεύοιτο· εἴτ' ἄρα καὶ χρήσιμόν τι νομίζων αὐτὸν εἶναι, εἴτε καὶ ἀσφαλέστερον οὕτως ἡγούμενος. Καὶ τότε μὲν οὕτως ἐκοιμήθησαν.

Τῇ δ' ὑστεραίᾳ καλέσας ὁ Κῦρος τοὺς φίλους καὶ τοὺς ἡγεμόνας τοῦ στρατεύματος, τοὺς μὲν αὐτῶν ἔταξε τοὺς θησαυροὺς παραλαμβάνειν, τοὺς δ' ἐκέλευσεν, ὁπόσα παραδοίη Κροῖσος χρήματα, πρῶτον μὲν τοῖς θεοῖς ἐξελεῖν ὁποῖα ἂν [b] οἱ μάγοι ἐξηγῶνται, [c] ἔπειτα τὰ ἄλλα χρήματα παραδεχομένους, ἐν ζυγάστροις στήσαντας ἐφ' ἁμαξῶν ἐπισκευάσαι, καὶ διαλαχόντας τὰς ἁμάξας κομίζειν ὅποιπερ ἂν αὐτοὶ πορεύωνται· ἵνα ὅποι καιρὸς εἴη, διαλαμβάνοιεν ἕκαστοι τὰ ἄξια. Οἱ μὲν δὴ ταῦτ' ἐποίουν·

Ὁ δὲ Κῦρος καλέσας τινὰς τῶν παρόντων ὑπηρετῶν, Εἴπατέ μοι, ἔφη, ἑώρακέ τις ὑμῶν Ἀβραδάτην; θαυμάζω γάρ, ἔφη, ὅτι πρόσθεν θαμίζων ἐφ' ἡμᾶς, νῦν οὐδαμοῦ φαίνεται. Τῶν οὖν ὑπηρετῶν τις [d] ἀπεκρίνατο ὅτι, ὦ δέσποτα, οὐ ζῇ, ἀλλ' ἐν τῇ μάχῃ ἀπέθανεν, ἐμβαλὼν τὸ ἅρμα εἰς τοὺς Αἰγυπτίους· οἱ δ' ἄλλοι, πλὴν τῶν ἑταίρων αὐτοῦ, ἐξέκλιναν, ὥς φασιν, ἐπεὶ τὸ στί-

alia munera, quibus me gratum ei præbeam, mox debere mihi videar. His Crœsi verbis auditis, Cyrus *in eo* tranquillitatem animi est admiratus: deinceps *ille*, quocunque Cyrus proficisceretur, *unà* ducebatur; sive adeò propterea quòd eum ad aliquam rem utilem esse putaret, seu quòd ità tutius arbitraretur. Ac tum quidem hoc modo quieti se dederunt:

Postridiè Cyrus amicis et ducibus copiarum convocatis, eorum alios quidem constituit qui thesauros acciperent, aliis præcepit, ut de iis pecuniis, quascunque Crœsus traderet, primùm diis seligerent, quas magi *seligendas* præscriberent; deinde reliquas pecunias acceptas in arcis locarent ac plaustris imponerent, *iisdém*que plaustris sorte distributis *secum eas* portarent, quocunque proficiscerentur ipsi; ut opportuno tempore, *sua* singuli pro meritis acciperent. Et hi quidem ista exsequebantur:

Cyrus autem quibusdam ex ministris qui aderant arcessitis, Dicite, mihi, ait, an aliquis vestrûm Abradatam vidit? miror enim, quod antehac frequenter nos accedere solitus, modò nusquam adpareat. *Ei* quidam ex ministris respondit, *Is*, domine, non vivit, sed in pugnâ mortuus est, cùm in Ægyptios currum suum immisisset; cæteri, sodalibus ejus exceptis, declinârunt, utì *quidem* perhibetur, posteaquam Ægyptiorum agmen conspexis-

a Ἥγετο δὲ, &c.] Sapientis hoc imperatoris consilium memoratur etiam in *Valesii* excerptis ex *Diodor.* p. 241. et ex *Nic. Damasc.* p. 454. et 462.

b Οἱ μάγοι, &c.] Vide p. 215.

c Ἔπειτα τὰ] Vide p. 208. not. a. Sic infra paulò —— πρῶτον μὲν Ἑστίᾳ ἔθυσαν, ἔπειτα Διὶ, &c.

d Ἀπεκρίνατο ὅτι, &c.] Vide quæ notavimus p. 237.

φος εἶδον τὸ τῶν Αἰγυπτίων. Καὶ νῦν γε, ἔφη, λέγεται αὐτοῦ ἡ γυνὴ, ἀνελομένη τὸν νεκρὸν, καὶ ἐνθεμένη εἰς τὴν ἁρμάμαξαν, ἐν ᾗ περ αὐτὴ ὠχεῖτο, προσκεκομικέναι αὐτὸν ἐνθάδε πη πρὸς τὸν Πακτωλὸν ποταμόν. Καὶ τοὺς μὲν εὐνούχους καὶ τοὺς θεράποντας αὐτοῦ ὀρύττειν φασὶν ἐπὶ λόφου τινὸς θήκην τῷ τελευτήσαντι· τὴν δὲ γυναῖκα λέγουσιν ὡς κάθηται χαμαὶ, κεκοσμηκυῖα οἷς εἶχε τὸν ἄνδρα, τὴν κεφαλὴν αὐτοῦ ἔχουσα ἐπὶ τοῖς γόνασι. Ταῦτα ἀκούσας ὁ Κῦρος [a] ἐπαίσατο ἄρα τὸν μηρὸν, καὶ εὐθὺς ἀναπηδήσας ἐπὶ τὸν ἵππον, λαβὼν χιλίους ἱππέας ἤλαυνεν ἐπὶ τὸ πάθος. Γαδάταν δὲ καὶ Γωβρύαν ἐκέλευσεν ὅ,τι δύναιντο λαβόντας καλὸν κόσμημα ἀνδρὶ φίλῳ καὶ ἀγαθῷ τετελευτηκότι, μεταδιώκειν· καὶ ὅστις εἶχε τὰς ἑπομένας ἀγέλας καὶ βοῦς καὶ ἵππους, εἶπε τούτῳ καὶ ἄλλα πρόβατα πολλὰ ἐλαύνειν ὅποι ἂν αὐτὸν πυνθάνηται ὄντα, ὡς ἐπισφαγείη τῷ Ἀβραδάτῃ.

Ἐπεὶ δὲ εἶδε τὴν γυναῖκα [b] χαμαὶ καθημένην καὶ τὸν νεκρὸν κείμενον, ἐδάκρυσέ τε ἐπὶ τῷ πάθει, καὶ εἶπε, Φεῦ ὦ ἀγαθὴ καὶ πιστὴ ψυχὴ, οἴχῃ δὴ ἀπολιπὼν ἡμᾶς· καὶ ἅμα ἐδεξιοῦτο αὐτὸν, καὶ ἡ χεὶρ τοῦ νεκροῦ ἐπηκολούθησεν· ἀποκέκοπτο γὰρ κοπίδι [c] ὑπὸ τῶν Αἰγυπτίων. Ὁ δὲ, ἰδὼν, πολὺ ἔτι μᾶλλον ἤλγησε·

sent. Et uxor ipsius, inquit, jam mortuum sustulisse dicitur, atque impositum in *harmamaxam*, quâ ipsa vehi solita est, adtulisse huc aliquò ad Pactolum fluvium. Aiunt et eunuchos et famulos ipsius quodam in tumulo conditorium mortuo fodere; et uxorem humi sedere, quæ maritum rebus iis ornârit, quascunque habuerit, ejusque caput *impositum* genibus teneat. Hæc ubi Cyrus audivit, femur sanè *suum* percussit, statímque in equum ubi insiliisset, sumptis *secum* equitibus mille, ad *tristem illum* casum advehitur. Gadatæ verò Gobryæque mandat, ut *secum* sumerent quidquid ornamenti mortuo viro amico et forti conveniret, statímque subsequerentur: et si quis greges et boves et equos secum duceret, mandabat ut alias etiam pecudes eò multas ageret, ubicunque se resciret esse, quo mactari apud Abradatam possent.

Ut humi sedentem mulierem vidit et jacentem mortuum, lacrimas ob casum *tristem* profudit, ac dixit, Heu fortem ac fidam animam, abiisti ergo nobis relictis: simul dextram mortui prehendit, atque ea subsequuta est; quippe quæ ab Ægyptiis copide fuisset amputata. Cyrus *id* cùm vidit,

a Ἐπαίσατο ἄρα τὸν, &c.] Dolentis signum: vide Jerem. xxxi. 19. Ezek. xxi. 12. *Homerus* Il. μ'. v. 162.

Δή ῥα τότ' ᾤμωξέν τε καὶ ὣ πεπλήγετο μηρὼ
Ἄσιος Ὑρτακίδης ——

Idem. *Odys.* ν'. v. 198.

ᾤμωξέν τ' ἄρ' ἔπειτα, καὶ ὣ πεπλήγετο μηρὼ
Χερσὶ καταπρηνέσσ'· ὀλοφυρόμενος ——

b Χαμαὶ καθημένην] Vide supra p. 257. not. b.

c Ὑπὸ τῶν, &c.] Leunclavius libri Budensis scripturam hanc sequutus est, ἀποκέκοπτο γὰρ κοπίδι ὑπὸ τῳ Αἰγυπτίων. Ipse tamen et Stephanus unà viderunt genitivum, non dativum, hìc locum habere. Itaque Leunclavius quidem potius ὑπό τυ, quàm illud ὑπό τῳ scribendum censet:

ᵃκαὶ ἡ γυνὴ δὲ ἀνωδύρατο, καὶ δεξαμένη δὴ παρὰ τοῦ Κύρου ἐφίλησέ τε τὴν χεῖρα, καὶ πάλιν ὡς οἷόν τ' ἦν προσήρμοσε· καὶ εἶπε, Καὶ τἄλλα τοι, ὦ Κῦρε, οὕτως ἔχει. Ἀλλὰ τί δεῖ σε ὁρᾷν; Καὶ ταῦτ' ἔφη, οἶδ' ὅτι δι' ἐμὲ οὐχ ἥκιστα ἔπαθεν, ἴσως δὲ καὶ διὰ σέ, ὦ Κῦρε, οὐδὲν ἧττον. Ἐγώ τε γὰρ ἡ μωρὰ πολλὰ διεκελευόμην αὐτῷ οὕτω ποιεῖν, ὅπως σοι φίλος ἄξιος λόγου φανείη· αὐτός τε οἶδ' ὅτι οὗτος οὐ τοῦτο ἐνενόει ᵇὅ,τι πείσοιτο, ἀλλὰ τί ἄν σοι ποιήσας χαρίσαιτο. Καὶ γὰρ οὖν, ἔφη, αὐτὸς μὲν ἀμέμπτως τετελεύτηκεν, ἐγὼ δ' ἡ παρακελευομένη, ζῶσα παρακάθημαι. Καὶ ὁ Κῦρος χρόνον μέν τινα σιωπῇ κατεδάκρυσεν, ἔπειτα δὲ ἐφθέγξατο, Ἀλλ' οὗτος μὲν δή, ὦ γύναι, ἔχει τὸ κάλλιστον τέλος· νικῶν γὰρ τετελεύτηκε· σὺ δὲ λαβοῦσα τοῖσδε ἐπικόσμει αὐτὸν τοῖς παρ' ἐμοῦ· (παρῆν δὲ Γωβρύας καὶ ὁ

multò etiam majori dolore adfectus est: mulier autem ejulare cœpit, acceptámque à Cyro manum osculabatur, et rursùs *loco eam*, utì quidem poterat, accomodavit; dixítque, Etiam cætera, Cyre, sic se habent. Verùm quid attinet *ea* te adspicere? Atque hæc, ait, scio propter me maximè ipsi accidisse, ac fortassis etiam propter te, Cyre, nihilo minùs. Etenim stulta ego multis eum cohortata sum, efficeret, ut amicum in aliquo numero habendum tibi se declararet, et ipse *sat* scio, non quid sibi accideret, cogitabat; sed quibus facinoribus editis tibi gratificaretur. Quamobrem ipse quidem, inquit, extremum vitæ diem ità morte confecit, ut de eo nemo conqueri possit, ego verò hortatrix ei viva hìc adsideo. Cyrus aliquamdiu cum silentio lacrimas fudit, deinde dixit, Hic verò, mulier, finem præclarissimum sortitus est; nam victor diem obiit supremum: tu verò hæc à me accipito, quibus eum ornes: (nam Gobryas Gadatásque *jam* aderant, copiosum et

Stephanus, vel retinendam vulgatam scripturam, vel reponendum —— ὑπό τι τῶν, &c. i. e. ὑπό τινος τῶν, &c. quòd articulum τῶν haud facilè prætermissum fuisse judicet. Sed, παρά γ' ἐμοὶ κριτῇ, receptam illi lectionem frustrà sollicitârunt: cùm satis commodè ὑπὸ τῶν Αἰγυπτίων manus abscissa dicatur, ὑπό τινος τῶν Αἰγυπτίων erat abscissa. Simili planè modo suprà ioquitur Gobryas lib. 4. p. 249. de *Neriglissoro* Assyriorum rege: *ἐπεὶ δὲ ἐκεῖνος μὲν τέθνηκεν ὑφ' ὑμῶν.*

a Καὶ ἡ γυνὴ δὲ ἀνωδύρατο, &c.] Haud ità dissimilem *Corneliæ* dolentis imaginem repræsentat *Lucanus*, lib. 9. v. 109, et seq.

Sic ubi fata, caput ferali obducit amictu,
Decrevitque pati tenebras ——
—————sævumque arctè complexa dolorem,
Perfruitur lacrimis, et amat pro conjuge luctum.

Panthéam autem argumentum Epici carminis fecerat *Sotericus* Poëta ἐποποιός, ut narrat *Suidas* ad v. Σωτήριχος.

b Ὅ,τι πείσοιτο] Exstat hæc lectio, Leunclavio teste, in libro Budensi; cujus etiam in MSto Bodl. haud obscura remanent vestigia; exhibet enim πήσοιτο, haud pœnitendam sanè scripturam; nam legitur et πείσομαι et πήσομαι in futuro verbi πάσχω. Quæ verò Stephanus de hoc πείσοιτο tanquam à πείθεσθαι formato congessit, ἀπροσδιόνυσα omnino sunt. In libris vulgatis pessimè scribitur, ὅ,τι ποιήσοιτο. Nostram lectionem ipsa loci sententia flagitat, orationísque tuetur series; nam sic illa modò, *οἶδ' ὅτι δι' ἐμὲ οὐχ ἥκιστα ἔπαθεν*, &c. eam etiam ex suis exemplaribus adfert *Gabrielius*, et recipiendam monet *Muretus*. Sed, exemplum ejusdem prorsùs orationis seriei et locutionis, dubitationem quod omnem tollat, ex ipso adferam Xenophonte: —— *ὡς μὴ τοῦτο μόνον ἐννοοῦνται τί πείσονται, ἀλλὰ καὶ τί ποιήσουσι, πολὺ*, &c. exped. lib. 3. p. 177. *edit. Steph.*

Γαδάτας πολὺν καὶ καλὸν κόσμον φέροντες) ἔπειτα δ' ἔφη, ἴσθι ὅτι οὐδὲ τὰ ἄλλα ἄτιμος ἔσαι, ἀλλὰ καὶ τὸ μνῆμα πολλοὶ χώσουσιν [a] ἀξίως ὑμῶν, καὶ ἐπισφαγήσεται αὐτῷ ὅσα εἰκὸς ἀνδρὶ ἀγαθῷ. Καὶ σὺ δέ, ἔφη, οὐκ ἔρημος ἔσῃ, ἀλλ' ἐγώ σε καὶ σωφροσύνης ἕνεκα καὶ πάσης ἀρετῆς καὶ τἄλλα τιμήσω, καὶ συστήσω ὅστις ἀποκομιεῖ σε ὅποι ἂν αὐτὴ ἐθέλῃς· μόνον, ἔφη, δήλωσον πρὸς ὅντινα χρῄζεις κομισθῆναι. Καὶ ἡ Πάνθεια εἶπεν, Ἀλλὰ θάρρει, ἔφη, ὦ Κῦρε, οὐ μή σε κρύψω πρὸς ὅντινα βούλομαι ἀφικέσθαι.

Ὁ μὲν δὴ ταῦτα εἰπὼν ἀπῄει, κατοικτείρων τήν τε [b] γυναῖκα, οἵου ἀνδρὸς στεροῖτο, καὶ τὸν ἄνδρα, οἵαν γυναῖκα καταλιπὼν οὐκέτ' ὄψοιτο. Ἡ δὲ γυνὴ τοὺς μὲν εὐνούχους ἐκέλευσεν ἀποστῆναι· (ἕως ἄν, ἔφη, τόνδε ἐγὼ ὀδύρωμαι ὡς βούλομαι) τῇ δὲ τροφῷ εἶπε παραμένειν, καὶ ἐπέταξεν αὐτῇ, ἐπειδὰν ἀποθάνῃ, περικαλύψαι αὐτήν τε καὶ τὸν ἄνδρα ἐν ἑνὶ ἱματίῳ. Ἡ δὲ τροφὸς πολλὰ ἱκετεύουσα μὴ ποιεῖν τοῦτο, ἐπεὶ οὐδὲν ἤνυε, καὶ χαλεπαίνουσαν ἑώρα, ἐκάθητο κλαίουσα. Ἡ δὲ ἀκινάκην πάλαι [c] παρεσκευασμένη, σφάττει ἑαυτήν, καὶ ἐπιθεῖσα ἐπὶ τὰ στέρνα τοῦ

elegantem ferentes ornatum) deinde scito, inquit, nè quidem alios honores ei defuturos, sed et monumentum *illi* complures ex dignitate vestrâ aggesto tumulo conficient; et mactabuntur ei quæcunque viro forti æquum est *mactari*. Tu quoque deserta, inquit, non eris, sed ego te propter pudicitiam virtutésque *tuas* cæteras cùm aliis rebus colam, tum *alicui* commendabo, qui te quocunque voles deportabit: tantùm, ait, indicato ad quem deportari te cupias. Et Panthéa, securo sis animo, inquit, Cyre; nequaquam te celabo, ad quem pervenire velim.

Cyrus hæc loquutus discessit, tum mulieris misertus, quæ virum talem amisisset, tum viri, qui relictam uxorem talem non ampliùs adspiceret. Mulier autem eunuchos secedere jussit; (donec istum ego, inquit, ex animi sententiâ lamentando deflevero) nutrici dixit ut *secum* maneret, eidémque præcepit, ut se, mortem ubi occubuisset, et virum unâ veste velatos obtegeret. Nutrix multis eam precata suppliciter, nè id faceret, cùm nihil proficeret, ipsámque videret indignari, sedit lacrimans. Tum *mulier*, quæ acinacem dudum *ad hoc* paratum haberet, seipsam jugulat, et capite in

a Ἀξίως ὑμῶν] Vulgò, ἡμῶν, *ex dignitate nostrâ*. Sed Leunclavio Stephanóque libens accedo, qui potiùs legendum putant ἀξίως ὑμῶν, *ex dignitate vestrâ*; scil. Abradatæ et Panthéæ. Hæc autem invicem permutari solere pronomina, neminem exemplaribus Græcis versandis adsuetum latet.

b Γυναῖκα, οἵου ἀνδρὸς, &c.] Gemina huic exstat locutio apud *Platonem*, sub fin. *Phæd.* de morte Socratis loquentem: ὥστε ἐγκαλυψάμενος ἀπέκλαιον ἐμαυτόν· οὐ γὰρ δὴ ἐκεῖνόν γε, ἀλλὰ τὴν ἐμαυτοῦ τύχην, οἵου ἀνδρὸς ἑταίρου ἐστερημένος εἴην. ubi λογιζόμενος, vel quid simile, ex mente Budæi, subaudiendum.

c Παρεσκευασμένη] Stephanus legit, παρασκευασαμένη, alterâ illâ voce in marginem rejectâ. Nos MStum Bodl. editiones *Ald. Leuncl. Eton.* aliásque sequuti sumus.

ἀνδρὸς τὴν ἑαυτῆς κεφαλὴν ἀπέθνησκεν. Ἡ δὲ τροφὸς ἀνωλοφύρατό τε καὶ περιεκάλυπτεν ἄμφω, ὥσπερ ἡ Πάνθεια ἐπέστελλεν. Ὁ δὲ Κῦρος, ὡς ᾔσθετο τὸ ἔργον τῆς γυναικὸς, ἐκπλαγεὶς, ἵεται εἴ τι δύναιτο βοηθῆσαι. ᵃ Οἱ δὲ εὐνοῦχοι, ἰδόντες τὸ γεγενημένον, τρεῖς ὄντες, σπασάμενοι κἀκεῖνοι τοὺς ἀκινάκας, ἀποσφάττονται, ὅπερ ἔταξεν αὐτοὺς ἑστηκότες. ᵇ Καὶ νῦν τὸ μνῆμα μέχρι τοῦ νῦν τῶν εὐνούχων κεχῶσθαι λέγεται· καὶ ἐπὶ μὲν τῇ ἄνω στήλῃ, τοῦ ἀνδρὸς καὶ τῆς γυναικὸς ἐπιγεγράφθαι φασὶ τὰ ὀνόματα, Σύρια γράμματα· κάτω δὲ εἶναι τρεῖς λέγουσι στήλας, καὶ ἐπιγεγράφθαι, ᶜ ΣΚΗΠΤΟΥΧΩΝ. Ὁ δὲ Κῦρος, ὡς ἐπλησίασε τῷ πάθει, ἀγασθείς τε τὴν γυναῖκα καὶ κατολοφυράμενος ἀπῄει·

mariti pectus imposito moritur. Nutrix cum ejulatu ambos obtegit, quemadmodùm Panthéa jusserat. Cyrus autem ubi mulieris facinus rescivit, exterritus, accessit, si quid auxilii ferre posset. Eunuchi, qui tres erant, cùm quid factum esset viderent, et ipsi strictis acinacibus, quo eos loco stare jusserat, stantes se jugulârunt. Et nunc *quoque* monumentum *istorum* usque ad eunuchos aggesto tumulo porrigi dicitur: ac superiore quidem in columnâ hujus viri et mulieris hujus nomina feruntur inscripta literis Syriacis; inferiùs autem columnas esse tres aiunt, et eis inscriptum, SCEPTUCHORUM. Cyrus ubi propiùs ad *illum tristem* casum accessisset, et admiratus *istam mulierem* et lamentis prosequutus, discessit: fuítque, ceu

a Οἱ δὲ εὐνοῦχοι] Notum est, apud Orientis reges frequentes fuisse Eunuchos, quos primùm Gynæceis præfecerunt, deinde etiam omnis generis honoribus ornârunt. Hinc factum, ut nomen illud tralatitio significatu, *aulicum et præfectum regium*, quanquam minimè exsectum, significaret. Quò spectat, quòd Act. viii. 27. ὁ εὐνοῦχος à Syro [Syriac] dicatur, i. e. πιστὸς, ab officio nempe, (ut benè ad eum locum Cl. *de Dieu*) non verò à corporis vitio. Potiphar certè, qui eâdem voce, Gen. xxxvii. 36. et xxxix. 1. à Syro interpr. designatur, vir fuit; quippe qui uxorem habuerit.

b Καὶ νῦν τὸ, &c.] Vitiosa esse hæc, Καὶ νῦν τὸ μνῆμα μέχρι τοῦ νῦν τῶν, &c. atque adeò post μέχρι, temerè illa τοῦ νῦν, repetita de superioribus, irrepsisse putat Leunclavius. Eidem, μέχρι τῶν εὐνούχων, nihil aliud est, quàm si dicas *usque ad locum, quo eunuchi se jugulârunt.* Camerarius eandem, teste Stephano, lectionem quam Leunclavius recipiendam censuit, ex suo exemplari adfert; et in annotationibus ità locum vertit, *Atque nunc monumenti tumulus extare dicitur, ad eunuchos,* seu *eunuchorum monumenta, pertinens:* at in ipsâ libri interpretatione, lectionem quam habemus sic reddit. *Et nunc monumenti eunuchorum tumulus ad hodiernum usque diem extare dicitur.* Gabrielius quoque eodem ferè modo vulgatam, quam sequutus est, lectionem reddit. Stephanus ait sibi displicere μέχρι τοῦ νῦν, cùm præcedat νῦν· sed nec mutationem illam, μέχρι τῶν εὐνούχων, probat. Prius illud νῦν, ut mihi quidem videtur, rectiùs forsan mutatum fuerit, quàm posterius unà cum articulo τοῦ sublatum. An igitur legendum, Καὶ μὴν τὸ μνῆμα μέχρι τοῦ νῦν τῶν, &c.

c ΣΚΗΠΤΟΥΧΩΝ.] Ità MS. Bodl. et editiones *Ald. Leuncl. Eton.* aliæque. Stephanus perperam exhibet εὐνούχων, quòd haud dubiè σχόλιον est; quo significatur, sceptrigeros Xenophonti esse eunuchos. Vide quæ modò dicta sunt not. b. Leunclavius se coram vidisse ait, Constantinopoli ad portam Osmaneam eunuchos in illius Sultani seraio, verè *sceptuchos* sive *sceptrigeros* esse, more de Persis hoc antiquissimo à Turcis usurpato. Gestant enim sceptra, quæ dignitatis et officiorum insignia sunt, ut apud Romanos, fasces, apud Græcos imperatores Christianos recentiores, baculi, qui linguâ Græcorum σκήπτρων adpellationem habent. Hæc autem in Pandectes rerum Turcicarum Leunclaviano pluribus declarata videre licet, cap. 173 et 199.

καὶ τούτων μὲν ᾗ εἰκὸς ἐπεμελήθη, ὡς τύχοιεν πάντων τῶν καλῶν, καὶ τὸ μνῆμα ὑπερμέγεθες ἐχώσθη, ὥς φασιν.

Ἐκ δὲ τούτου στασιάζοντες [a] *οἱ Κᾶρες καὶ πολεμοῦντες πρὸς ἀλλήλους, ἅτε τὰς οἰκήσεις ἔχοντες ἐν ἐχυροῖς χωρίοις, ἑκάτεροι ἐπεκαλοῦντο τὸν Κῦρον. Ὁ δὲ Κῦρος αὐτὸς μένων ἐν Σάρδεσι μηχανὰς ἐποιεῖτο καὶ κριοὺς, ὡς τῶν μὴ πειθομένων* [b] *ἐρείψων τὰ τείχη·* [c] *Ἀδούσιον δὲ ἄνδρα Πέρσην, καὶ τἄλλα οὐκ ἄφρονα οὐδ' ἀπόλεμον, καὶ πάνυ δὴ εὔχαριν, πέμπει ἐπὶ τὴν Καρίαν, στράτευμα δούς· καὶ Κίλικες δὲ καὶ Κύπριοι πάνυ προθύμως αὐτῷ συνεστράτευσαν. Ὧν ἕνεκα οὐδ' ἔπεμψε πώποτε Πέρσην σατράπην οὔτε Κιλίκων οὔτε Κυπρίων, ἀλλ' ἤρκουν αὐτῷ ἀεὶ οἱ ἐπιχώριοι βασιλεύοντες·* [d] *δασμὸν μέντοι ἐλάμβανε, καὶ στρατείας, ὁπότε δέοιτο, ἐπήγγελλεν αὐτοῖς. Ὁ δὲ Ἀδούσιος ἄγων τὸ στράτευμα ἐπὶ τὴν Καρίαν ἦλθε, καὶ ἀπ' ἀμφοτέρων τῶν Καρῶν παρῆσαν πρὸς αὐτὸν, ἕτοιμοι ὄντες δέχεσθαι εἰς τὰ τείχη, ἐπὶ κακῷ τῶν ἀντιστασιαζόντων. Ὁ δὲ Ἀδούσιος πρὸς ἀμφοτέρους* [e] *ταυτὰ ἐποίει· δικαιότερά τε ἔφη λέγειν τούτους ὁποτέροις*

par erat, ei curæ, præclara ut illis omnia contingerent; ingénsque *adeò* monumentum, ut perhibent, aggesto tumulo factum fuit.

Secundùm hæc cùm factionibus Cares armisque *adeò* inter se contenderent, utpote qui domicilia munitis in locis haberent, utrique Cyrum implorabant. Cyrus autem ipse Sardibus manens machinas fabricabatur et arietes, ut eorum, qui parere nollent, mœnia solo æquaret: Adusium verò Persam, hominem cæteroqui nec imprudentem reíve militaris rudem, ac valdè etiam elegantis ingenii, cum exercitu in Cariam mittit; perlibenter autem tum Cilices tum Cyprii ejus in hâc expeditione signa sequuti sunt. Quæ causa fuit cur nullum satrapam Persicum Cilicibus et Cypriis unquam miserit, contentus semper indigenis *eorum* regibus: tributum tamen *ab istis* exigebat; et militiam, cùm erat opus, eis imperabat. Adusius autem qui ducebat exercitum, posteaquam in Cariam pervenit, aderant ab utrâque Carum parte *quidam*, parati eum *suas* intra munitiones, ad contrariæ factionis detrimentum, recipere. Adusius erga utrosque faciebat eadem; cùm dice-

a Οἱ Κᾶρες, &c.] De quibus ità *Pomp. Mela*, lib. 1. c. 16. *Genus usque eo quondam armorum pugnæque amans, ut aliena etiam bella mercede ageret. Hìc castella aliquot sunt*, &c. Vide Herodot. lib. 1. c. 171. Hoc autem bellum civile inter Caras ortum est, ex Usserii mente, anno ante æram Christianam 547.

b Ἐρείψων] Sic rectè MS. Bodl. et editiones principes. In *Florent.* edit. legitur ἐῤῥείψων, non sine aperto mendo: mendosè itidem *Ald.* repræsentat τρείψων pro ἐρείψων. Sed ob initialium literarum affinitatem facillimus Grammatologo fuit lapsus. Liber Budensis, Leunclavio teste, pro ἐρείψων exhibet κατερείψων.

c Ἀδούσιον] Hoc nomen pro vulgato illo Καδούσιον, adsentientibus Camerario, Stephano et Leunclavio, ambiguitatis vitandæ gratiâ reposuimus. Nam Καδούσιος in hoc etiam ipso opere passim gentis est nomen.

d Δασμὸν μέντοι, &c.] Confer *Herodot.* lib. 3. c. 90, et seq.

e Ταυτὰ] Ità scripsimus, Stephani et Leunclavii editiones sequuti: in aliis minùs rectè legitur ταῦτα.

ἡδομένως πράττοντά με κατέγνως; Τοῦτο δὴ πάντων ἥκιστα, ἔφη ὁ Κῦρος. Τίνος μὴν ἕνεκα, ἔφη, πρὸς τῶν θεῶν, ὦ Κῦρε, Χρυσάντας σε ἔτρεψεν, ὥστε εἰς τὴν τιμιωτέραν ἐμοῦ ἕδραν ἱδρυθῆναι; Ἦ λέγω; ἔφη ὁ Κῦρος. Πάντως, ἔφη ὁ Ὑστάσπας. Καὶ σὺ αὖ οὐκ ἀχθεσθήσῃ μοι ἀκούων τἀληθῆ; Ἡσθήσομαι μὲν οὖν, ἔφη, ἢν εἰδῶ ὅτι οὐκ ἀδικοῦμαι. Χρυσάντας τοίνυν, ἔφη, οὑτοσὶ πρῶτον μὲν οὐ κλῆσιν ἀνέμενεν, ἀλλὰ πρὶν καλεῖσθαι παρῆν τῶν ἡμετέρων ἕνεκα· ἔπειτα δὲ, οὐ τὸ κελευόμενον μόνον, ἀλλὰ καὶ ὅ,τι αὐτὸς γνοίη ἄμεινον εἶναι πεπραγμένον ἡμῖν, τοῦτο ἔπραττεν. Ὁπότε δ' εἰπεῖν τι δέοι εἰς τοὺς συμμάχους, ἃ μὲν ἐμὲ ᾤετο πρέπειν λέγειν, ἐμοὶ συνεβούλευεν· ἃ δὲ ἐμὲ αἴσθοιτο βουλόμενον μὲν εἰδέναι τοὺς συμμάχους, αὐτὸν δέ με αἰσχυνόμενον περὶ ἐμαυτοῦ λέγειν, ταῦτα οὗτος λέγων ὡς ἑαυτοῦ γνώμην ἀπεφαίνετο· ὥστ' ἔν γε τούτοις τί κωλύει αὐτὸν καὶ ἐμοῦ ἐμοὶ κρείττονα εἶναι; Καὶ ἑαυτῷ μὲν ἀεί φησι πάντα τὰ παρόντα ἀρκεῖν, ἐμοὶ δὲ ἀεὶ φανερός ἐστι σκοπῶν τί ἂν προσγενόμενον ὀνήσειεν· ἐπί τε τοῖς ἐμοῖς καλοῖς μᾶλλον ἐμοῦ ἀγάλλεται καὶ ἥδεται. Πρὸς ταῦτα ὁ Ὑστάσπας εἶπε, Νὴ τὴν Ἥραν, ὦ Κῦρε, ἥδομαί γε ταῦτά σε ἐρωτήσας. Τί μάλιστα; ἔφη ὁ Κῦρος. Ὅτι κἀγὼ πειράσομαι ταῦτα ποιεῖν· ἓν μόνον, ἔφη, ἀγνοῶ, πῶς ἂν εἴην δῆλος χαίρων ἐπὶ τοῖς σοῖς ἀγαθοῖς· πότερον κροτεῖν δεῖ τὼ χεῖρε, ἢ γελᾷν, ἢ τί ποιεῖν. Καὶ ὁ Ἀρτάβαζος

eorum *omnium* an aliquid est, quod unquàm non alacriter, neque cum voluptate facere me animadverteris? Id verò minimè omnium, ait Cyrus. Quid igitur est, per deos *immortales*, quo Chrysantas te movit, ut sede honoratiori, quàm ego, collocaretur? Dicámne? inquit Cyrus. Omnino, subjecit Hystaspas. Et tu mihi rursùm non succensebis, ubi quod verum est audies? Imò verò voluptatem capiam, inquit, si me nullâ injuriâ adfici sciam. Hic ergo Chrysantas primùm, ait, non expectabat donec arcesseretur, sed rerum nostrarum causâ priùs etiam, quàm arcesseretur, aderat: deinde, non id solum *faciebat*, quod imperaretur; sed quidquid animadverteret ipse, quod effectum nobis conduceret, agebat. Quoties autem ad socios aliquid dicendum erat, quæ ejus judicio me dicere decebat, de iis consilium mihi dabat suum; quæ verò præsentisceret me quidem scire socios cupere, sed pudore præpediri, quo minùs ipse de me dicerem, ea sic proferebat, quasi suam ipsius sententiam exponeret: atque adeò quid vetat, quo minùs in his mihi meipso potior fuerit? Prætereà sibi semper ea, quæ adsunt, sufficere ait; mihi verò prospicere semper eum palam est, ecquid accedere possit amplius, quod utilitatem adferat: denique de meis commodis plus lætitiæ ac voluptatis ille capit, quàm egomet *capiam*. Ad hæc Hystaspas, Lætor, ità me Juno amet, inquit, me de his te interrogâsse. Cur *id* potissimùm? ait Cyrus. Quippe quia et ipse hæc facere enitar: unum modò, inquit, ignoro, quo *scilicet* pacto efficere possim, ut manifestum sit me tuis commodis gaudere; utrùm manibus mihi plaudendum, an ridendum, vel quid

εἶπεν. Ὀρχεῖσθαι δεῖ τὸ Περσικόν. Ἐπὶ τούτοις μὲν δὴ γέλως ἐγένετο.

Προϊόντος δὲ τοῦ συμποσίου, ὁ Κῦρος τὸν Γωβρύαν ἐπήρετο, Εἰπέ μοι, ἔφη, ὦ Γωβρύα, νῦν ἂν δοκοίης ἥδιον τῷνδέ τῳ τὴν θυγατέρα δοῦναι, ἢ ὅτε τὸ πρῶτον ἡμῖν συνεγένου; Οὐκοῦν, ἔφη ὁ Γωβρύας, κἀγὼ τἀληθῆ λέγω; Νὴ Δί', ἔφη ὁ Κῦρος, ὡς ψεύδους γε οὐδεμία ἐρώτησις δεῖται. Εὖ τοίνυν, ἔφη, ἴσθι ὅτι νῦν ἂν πολὺ ἥδιον. Ἦ καὶ ἔχοις ἄν, ἔφη ὁ Κῦρος, εἰπεῖν διότι; Ἔγωγε. Λέγε δή. Ὅτι τότε μὲν ἑώρων τοὺς πόνους καὶ τοὺς κινδύνους εὐθύμως αὐτοὺς φέροντας, νῦν δὲ ὁρῶ αὐτοὺς [a] τὰ ἀγαθὰ σωφρόνως φέροντας. Δοκεῖ δέ μοι, ὦ Κῦρε, χαλεπώτερον εἶναι εὑρεῖν ἄνδρα τἀγαθὰ καλῶς φέροντα ἢ τὰ κακά· τὰ μὲν γὰρ ὕβριν τοῖς πολλοῖς, τὰ δὲ σωφροσύνην τοῖς πᾶσιν ἐμποιεῖ. Καὶ ὁ Κῦρος εἶπεν, Ἤκουσας, ὦ Ὑστάσπα, Γωβρύου [b] τὸ ῥῆμα; Ναὶ μὰ Δί', ἔφη· καὶ ἐὰν πολλά τοιαῦτά γε λέγῃ, πολὺ μᾶλλόν με τῆς

agendum sit. Et Artabazus, Saltandum tibi est, ait, more Persico. Et hæc quidem *verba* risus consequutus est:

Cùm autem compotatio produceretur, Gobryam Cyrus interrogans, Dic mihi, Gobrya, inquit, modòne tibi videare libentiùs horum alicui filiam daturus, quàm id temporis quo primùm nobis consuetudine congressus es? Num et ego, subjecit Gobryas, verum dicam? *Ità* profectò, ait Cyrus; quippe nulla interrogatio mendacium desiderat. Itaque certò scias, inquit, multò me jam libentiùs *id facturum*. Possísne mihi dicere, ait Cyrus, quamobrem? Ego verò *possim*. Dic igitur. Quia cernebam eos id temporis tum labores, tum pericula, præsentibus et æquis animis tolerare; nunc etiam res secundas moderatè ferre video. Arbitror autem, Cyre, difficilius esse reperire hominem qui res secundas, quàm qui adversas, rectè ferat: nam illæ in plerisque insolentiam, hæ modestiam in omnibus, excitant. Et Cyrus, Audivistíne, inquit, hoc Gobryæ verbum, Hystaspa? *Audivi* profectò, ait: ac si *quidem* ejusmodi plura dixerit, multò me magìs filiæ pro-

a Τὰ ἀγαθὰ σωφρόνως, &c.] Gravis admodùm sententia; quámque quotidiana veram esse docet experientia. Itaque non sine causâ *Horatius*:

—— benè ferre magnam
Disce fortunam.

Carm. lib. 3. Ode 27. Et lib. 2. Ode 3.

Æquam memento rebus in arduis
Servare mentem; non secùs ac bonis
Ab insolenti temperatam
Lætitiâ, ——

Multis utique fortunæ filiis contingere videmus id, quod Tantalo contigisse tradit *Pindarus*; apud quem hæc canuntur:

—— Εἰ δὲ δή τιν' ἄνδρα θνατὸν Ὀλύμπου σκοποὶ ἐτίμασαν, ἦν Τάνταλος οὗτος. Ἀλλὰ γὰρ καταπέψαι μέγαν ὄλβον οὐκ ἐδυνάσθη· κόρῳ δ' ἕλεν
Ἄταν ὑπέροπλον,
Τάν οἱ, &c.

Olymp. I. v. 85, et seq.

b Τὸ ῥῆμα;] H. e. τὸν λόγον nam plura Gobryas dixerat. Eodem modo vox adhibetur illa *Luc.* ii. 50. Καὶ αὐτοὶ οὐ συνῆκαν τὸ ῥῆμα ὃ, &c. Confer *Luc.* xx. 20. ubi λόγος exstat, pro quo paulo post v. 26. ῥῆμα legitur. Similiter sanè *verbum* apud Auctores Latinos pro integro sæpè sermone, sive oratione ponitur. *Terent.* Andr. 1. 5. 6. M. *Miseram me, quod verbum audio?* ubi *verbum* Donatus ἀξίωμα interpretatur Sed exempla passim obvia sunt.

θυγατρὸς μνηςῆρα λήψεται, ἢ ἐὰν ἐκπώματα πολλά μοι ἐπιδεικνύῃ. Ἦ μὴν, ἔφη ὁ Γωβρύας, πολλά γέ μοι ἐςὶ τοιαῦτα συγγεγραμμένα, ὧν ἐγώ σοι ἐ φθονήσω, ἢν τὴν θυγατέρα μου [a] γυναῖκα λαμβάνῃς· τὰ δὲ ἐκπώματα, ἔφη, ἐπειδὴ ἐκ ἀνέχεσθαί μοι φαίνῃ, ἐκ οἶδ' εἰ Χρυσάντᾳ τέτῳ [b] δώσω, ἐπεὶ καὶ τὴν ἕδραν σε ὑφήρπασε. Καὶ μὲν δὴ, ἔφη ὁ Κῦρος, ὦ Ὑςάσπα, καὶ οἱ ἄλλοι δὲ οἱ παρόντες, ἢν ἐμοὶ λέγητε, ὅταν τὶς ὑμῶν γαμεῖν ἐπιχειρήσῃ, γνώσεσθε ὁποῖός τις κἀγὼ συνεργὸς ὑμῖν ἔσομαι. Καὶ ὁ Γωβρύας εἶπεν, Ἢν δέ τις ἐκδῦναι βέληται θυγατέρα, πρὸς τίνα δεῖ λέγειν; Πρὸς ἐμὲ, ἔφη ὁ Κῦρος, καὶ τῦτο· πάνυ γὰρ, ἔφη, δεινός εἰμι ταύτην τὴν τέχνην. Ποίαν; ἔφη ὁ Χρυσάντας. Τὸ γνῶναι ὁποῖος ἂν γάμος ἑκάςῳ συναρμόσειε. Καὶ ὁ Χρυσάντας ἔφη, Λέγε δὴ πρὸς τῶν θεῶν, ποίαν τινά μοι γυναῖκα οἴει συναρμόσειν κάλλιςα. Πρῶτον μὲν, ἔφη, μικράν· μικρὸς γὰρ καὶ αὐτὸς εἶ· ἢν δὲ μεγάλην γαμήσειας, ἤν ποτε βέλῃ αὐτὴν ὀρθὴν φιλῆσαι, προσάλλεσθαί σε δεήσει ὡς τὰ κυνάρια. Τῦτο μὲν δὴ, ἔφη, ὀρθῶς προνοεῖς· καὶ γὰρ ἐδ' ὁπωςτιῦν ἁλτικός εἰμι. Ἔπειτα δ', ἔφη, σιμὴ ἄν σοι ἰσχυρῶς συμφέροι. Πρὸς τί δὴ αὖ τῦτο; Ὅτι, ἔφη, σὺ γρυπὸς εἶ· πρὸς ὃν τὴν σιμότητα σάφ' ἴσθι ὅτι ἡ γρυπότης ἄριςα προσαρμόσειε. Λέγεις σὺ, ἔφη, ὡς καὶ τῷ εὖ δεδειπνηκότι, ὥςπερ

cum habiturus est, quàm si multa mihi pocula ostentet. Profectò, inquit Gobryas, multa mihi sunt hujusmodi literis consignata, quæ tibi ego non invidebo, si filiam meam uxorem duxeris: pocula verò, ait, quia mihi non videris admittere, haud scio an Chrysantæ huic dem, quando is sedem etiam tibi surripuit. Enimverò, ait Cyrus, Hystaspa, et cæteri qui adestis, si mihi *rem* indicaveritis, quando quis vestrûm uxorem ducere conabitur, qualis et ipse vobis *in eâ* futurus sum adjutor, cognoscetis. Et Gobryas, Cui verò indicandum erit, inquit, si quis filiam nuptum dare velit? Etiam illud mihi *significate*, ait Cyrus, nam hanc artem mirificè calleo. Quam? ait Chrysantas. Cognoscendi, *inquit*, quod conjugium cuique congruat. Et Chrysantas, Dic ergo, per deos *immortales*, ait, cujusmodi uxorem mihi pulcherrimè congruentem esse arbitreris. Primùm, inquit, parvam: nam et tu parvus es: quòd si grandem ducas, adsilire te necesse fuerit, catellorum more, si fortè rectam osculari velis. Id verò, inquit, rectè abs te providetur: nam nè tantillùm quidem ad saltandum habilis sum. Deinde, ait, sima admodùm tibi adcommoda esset. Cur, illud? Quia tu, inquit, nasum aduncum habes: optimè igitur, certò scias, simæ nasi formæ congruerit adunca: Túne ais, inquit, benè cœnato, quemadmodùm jam ego *sum*, incœ-

a Γυναῖκα λαμβάνῃς] Eâdem locutione utitur *Luc.* xx. 29, 30.

b Δώσω] Itâ liber *Budensis*, Leunclavio auctore. *Gabrielius* adfert δῷ, quod Stephano placet. Horum certè utrumvis rectè vulgato illi δῶς anteferas. Nam primam locus personam postulat; cùm non in potestate Hystaspæ pocula essent ista, sed Gobryæ: cujus hæc ipsa verba sunt.

καὶ ἐγὼ νῦν, ἄδειπνος ἂν συναρμόζοι; Ναὶ μὰ Δί', ἔφη ὁ Κῦρος· τῶν μὲν γὰρ μεστῶν γρυπὴ ἡ γαστὴρ γίγνεται, τῶν δὲ ἀδείπνων, σιμή. Καὶ ὁ Χρυσάντας ἔφη, Ψυχρῷ δ' ἂν, πρὸς τῶν θεῶν, βασιλεῖ ἔχοις ἂν εἰπεῖν ποία τις συνοίσει; Ἐνταῦθα μὲν δὴ ὅ,τε Κῦρος ἐξεγέλασε, καὶ οἱ ἄλλοι ὁμοίως. Γελώντων δὲ ἅμα εἶπεν ὁ Ὑστάσπας, Πολύ γε, ἔφη, μάλιστα τοῦτό σε, ὦ Κῦρε, ζηλῶ ἐν τῇ βασιλείᾳ. Τίνος; ἔφη ὁ Κῦρος. Ὅτι δύνασαι καὶ ψυχρὸς ὢν γέλωτα παρέχειν. Καὶ ὁ Κῦρος εἶπεν, a Ἔπειτα οὐκ ἂν πρίαιό γε παμπόλλου ὥστε σοι ταῦτα εἰρῆσθαι, καὶ ἀπαγγελθῆναι παρ' ᾗ εὐδοκιμεῖν βούλει, ὅτι ἀστεῖος εἶ; Καὶ ταῦτα μὲν δὴ οὕτω διεσκώπτετο.

Μετὰ δὲ ταῦτα Τιγράνῃ μὲν ἐξήνεγκε γυναικεῖον κόσμον, καὶ ἐκέλευσε τῇ γυναικὶ δοῦναι, ὅτι ἀνδρείως συνεστρατεύετο τῷ ἀνδρί. Ἀρταβάζῳ δὲ χρυσοῦν ἔκπωμα· τῷ δὲ Ὑρκανίῳ ἵππον καὶ ἄλλα πολλὰ καὶ καλὰ ἐδωρήσατο. Σοὶ δὲ, ἔφη, ὦ Γωβρύα, δώσω ἄνδρα τῇ θυγατρί. Οὐκοῦν ἐμὲ, ἔφη ὁ Ὑστάσπας, δώσεις, ἵνα καὶ τὰ συγγράμματα λάβω. Ἦ καὶ ἔστι σοι, ἔφη ὁ Κῦρος, οὐσία ἀξία τῶν τῆς παιδός; Νὴ Δί', ἔφη, πολλαπλασίων μὲν οὖν χρημάτων. Καὶ ποῦ, ἔφη ὁ Κῦρος, ἔστι σοι αὕτη ἡ οὐσία; Ἐνταῦθα, ἔφη, ὅπουπερ καὶ σὺ κάθησαι, φίλος ὢν ἐμοί. Ἀρκεῖ μοι, ἔφη ὁ Γωβρύας· καὶ εὐθὺς ἐκτείνας τὴν δεξιὰν, Δί-

natam fore congruentem? *Ità* profectò, ait Cyrus; nam eorum, qui pleni sunt, venter aduncus est;* incœnatorum, simus. Et Chrysantas, Pessíme, obsecro te, inquit, dicere, cujusmodi uxor regi frigido commoda foret. Hìc risum et Cyrus edidit, et alii itidem. Quibus simul ridentibus, Hystaspas dixit, Equidem te, Cyre, multò maximè felicem ob hoc in *isto* regno *tuo* dico. Quid illud est? ait Cyrus. Quod cùm frigidus sis, risum movere possis. Et Cyrus, Tu verò non magno redimeres, inquit, ut hæc abs te dicta essent, atque ut illi renuntiaretur, apud quam existimari te velis, quod sis urbanus? Et hæc ità quidem ultro citróque jactabantur scommata.

Secundùm hæc Cyrus mundum muliebrem Tigrani protulit, quem ut uxori daret, præcepit; quòd ea virili animo militiæ mariti comes fuisset. Artabazo poculum aureum, Hyrcanio equum, cum aliis multis ac pulchris rebus, donavit. Tibi verò, Gobrya, inquit, virum dabo, cui filiam colloces. Me igitur dabis, ait Hystaspas, ut etiam illa *Gobryæ* scripta consequar. Num tibi sunt, inquit Cyrus, facultates, quæ sint puellæ fortunis dignæ? *Sunt* profectò, ait, et multò quidem majoribus opibus. Et ubinam, inquit Cyrus, has habes facultates? Hìc, ait, ubi tu consedisti, qui mihi amicus es. *Id verò* sufficit mihi, subjecit Gobryas; statímque porrectâ dextrâ, Da,

a Ἔπειτα] Hanc lectionem *Camerarii* et *Gabrielii* exhibent exemplaria, necnon MS. Bodl. in margine: eâr ... tientibus Stephano et Leunclavio, libens amplexus sum. Vulgò, ἐπεὶ οὐκ, &c.

δυ, ἔφη, ὦ Κῦρε· δέχομαι γάρ. Καὶ ὁ Κῦρος λαβὼν τὴν τοῦ Ὑστάσπου δεξιὰν, ἔδωκε τῷ Γωβρύᾳ· ὁ δὲ ἐδέξατο. Ἐκ δὲ τούτου πολλὰ καὶ καλὰ ἔδωκε δῶρα τῷ Ὑστάσπᾳ, ὅπως τῇ παιδὶ πέμψειε· Χρυσάνταν δ' ἐφίλησε προσαγαγόμενος. Καὶ ὁ Ἀρτάβαζος εἶπε, Μὰ Δί', ἔφη, ὦ Κῦρε, οὐχ ὁμοίου γε χρυσοῦ ἐμοί τε τὸ ἔκπωμα δέδωκας καὶ Χρυσάντᾳ τὸ δῶρον. Ἀλλὰ καὶ σοὶ, ἔφη, δώσω. Ἐπήρετο ἐκεῖνος, Πότε; Εἰς τριακοστὸν, ἔφη, ἔτος. [a] Ὡς ἀναμενοῦντος, ἔφη, καὶ οὐκ ἀποθανουμένου, οὕτω παρασκευάζου. Καὶ τότε μὲν δὴ οὕτως ἔληξεν ἡ σκηνή· ἐξανισαμένων δ' αὐτῶν ἐξανέστη καὶ ὁ Κῦρος, καὶ ξυμπροὔπεμψεν αὐτοὺς ἐπὶ τὰς θύρας.

Τῇ δ' ὑστεραίᾳ τοὺς ἐθελουσίους συμμάχους γενομένους ἀπέπεμπεν οἴκαδε ἑκάστους, πλὴν ὅσοι αὐτῶν οἰκεῖν ἐβούλοντο παρ' αὐτῷ· τούτοις δὲ χώραν καὶ οἴκους ἔδωκε, καὶ νῦν ἔτι ἔχουσιν οἱ τῶν [b] καταμεινάντων τούτων τότε ἀπόγονοι· πλεῖστοι δ' εἰσὶ Μήδων καὶ Ὑρκανίων· τοῖς δ' ἀπιοῦσι δωρησάμενος πολλὰ, καὶ ἀμέμπτους ποιησάμενος καὶ ἄρχοντας καὶ στρατιώτας, ἀπεπέμψατο. Ἐκ τούτου δὴ διέδωκε καὶ τοῖς περὶ αὐτὸν στρατιώταις τὰ χρήματα ὅσα ἐκ Σάρδεων ἔλαβε· καὶ τοῖς μὲν μυριάρχοις καὶ τοῖς περὶ αὐτὸν ὑπηρέταις ἐξαίρετα ἐδίδου πρὸς τὴν ἀξίαν ἑκάστῳ, τὰ δ' ἄλλα

Cyre, ait: nam accipio. Et prehensam Cyrus Hystaspæ dextram Gobryæ dedit; et is accepit. Multa deinde et elegantia dedit Hystaspæ munera, quæ puellæ mitteret: Chrysantam verò admotum sibi osculatus est. Et Artabazus, Profectò, Cyre, inquit, non ex eodem auro mihi poculum, et Chrysantæ munus *hoc* dedisti. At enim, ait *Cyrus*, etiam tibi daturus sum. Quando? quærebat ille. Ad annum, inquit, trigessimum. Tu verò sic te parato, ait *Artabazus*, quasi *illud* ipse *tempus* expectaturus sim, nec mortem priùs obiturus. Et hoc quidem modo tum illi contubernalium convivio finis est impositus: cùm autem ipsi surgerent, etiam Cyrus surrexit, et eos ad fores usque prosequutus est.

Postridiè socios, qui sponte se conjunxerant, singulos domum remisit, exceptis iis, qui apud ipsum habere domicilia vellent: his agros et ædes dedit, quas etiam nunc posteri eorum, qui tunc remansêre, possident; sunt autem plurimi ex Medis et Hyrcaniis: cùm discedentibus multa donâsset, et perfecisset ut nihil illi, sive præfecti essent sive milites, quererentur, *sic eos* dimisit. Deinde militibus etiam suis pecunias, quascunque ex Sardibus ceperat, distribuit; ac decem quidem millium præfectis et ministris suis eximia *quædam* pro dignitate cujusque largiebatur, cætera *hinc inde* divide-

a Ὡς ἀναμενοῦντος, &c.] Leunclavius sic ista vertit: "Tu verò sic te parato, ait *Hystaspas*, &c. Sed rectè monuit *Portus* hoc *Artabazo* potiùs tribuendum esse: quod ea, quæ modò præcesserant, verba satis demonstrant.

b Καταμεινάντων τούτων] *Gabrielis* exemplar pronomen hoc non habet: et hinc quidem, absque ullo sensûs detrimento, abesse potest.

διένειμε· καὶ τὰ μέρος ἑκάστῳ δὺς τῶν μυριάρχων, ἐπέτρεψεν αὐτοῖς διανέμειν ὥσπερ αὐτὸς ἐκείνοις διένειμεν. Ἐδίδοσαν δὲ τὰ μὲν ἄλλα χρήματα, ἄρχων ἄρχοντας τὺς ὑφ' ἑαυτῷ δοκιμάζων· τὰ δὲ τελευταῖα οἱ ἑξάδαρχοι, τὺς ὑφ' ἑαυτοῖς ἰδιώτας δοκιμάσαντες, πρὸς τὴν ἀξίαν ἑκάστῳ ἐδίδοσαν· καὶ ὕτω πάντες εἰλήφεσαν τὸ δίκαιον μέρος. Ἐπειδὴ δὲ εἰλήφεσαν τὰ τότε δοθέντα, οἱ μέν τινες ἔλεγον περὶ τῦ Κύρυ τοιάδε, Ἦ πυ αὐτός γε πολλὰ ἔχει, [a] ὅπυ γε καὶ ἡμῶν ἑκάστῳ τοσαῦτα δέδωκεν. Οἱ δέ τινες αὐτῶν ἔλεγον, Ποῖα πολλὰ ἔχει; ὐχ ὁ Κύρυ τρόπος τοιῦτος [b] οἷος χρηματίζεσθαι, ἀλλὰ διδὺς μᾶλλον ἢ κτώμενος ἥδεται. Αἰσθανόμενος δὲ ὁ Κῦρος τύτυς τὺς λόγυς καὶ τὰς δόξας τὰς περὶ αὐτῦ, συνέλεξε τὺς φίλυς τε καὶ τὺς ἐπικαιρίυς ἅπαντας, καὶ ἔλεξεν ὧδε·

"Ἄνδρες φίλοι, ἑώρακα μὲν ἤδη ἀνθρώπυς, οἳ βύλονται δοκεῖν πλείω κεκτῆσθαι ἢ ἔχυσιν, ἐλευθεριώτεροι ἂν οἰόμενοι "ὕτω φαίνεσθαι· ἐμοὶ δὲ δοκῦσιν, ἔφη, ὗτοι τὔμπαλιν ὃ βύ- "λονται ἐφέλκεσθαι· τὸν γὰρ πολλὰ δοκῦντα ἔχειν, μὴ κατ' "ἀξίαν τῆς ὐσίας φαίνεσθαι ὠφελῦντα τὺς φίλυς, ἀνελευθερίαν "ἔμοιγε δοκεῖ περιάπτειν. Εἰσὶ δ' αὖ, ἔφη, οἳ λεληθέναι βύ-

bat: et datâ parte *certâ* cuique decem millium præfecto, demandavit iis curam *aliis* distribuendi, quemadmodùm illis distribuisset. Ac pecuniæ quidem cæteræ sic distributæ sunt, ut præfectus quisque in præfectos *inferiores*, sibi parentes, explorando inquireret; sex item militibus præfecti, gregariis quibus præerant militibus exploratis, pecunias ultimas cuique pro merito dederunt: atque hoc modo justam universi portionem consecuti sunt. Acceptis autem *pecuniis* hisce tunc distributis, aliqui de Cyro aiebant, Ipse multa certè possidet, cùm tam multa cuique nostrûm dederit. Alii dicebant, Quæ sunt *illa* multa quæ possidet? non eo est ingenio Cyrus, ut pecunias velit construere; sed majorem voluptatem dando quàm accipiendo percipit. Hos sermones *hominùm*que de se sententias cùm Cyrus animadvertisset, convocatis amicis et omnibus illis, quos interesset arcessiri, in hanc setentiam loquutus est:

"Vidi equidem nonnullos, amici, qui existimari vellent plura possidere, "quàm haberent *reipsa;* quòd hoc modo futurum arbitrarentur, ut magìs "liberales viderentur: verùm illi vergere mihi videntur in partem instituto "suo contrariam: nam eum, qui multa possidere credatur, non pro ratione "facultatum amicis palam commodare, *id verò* mihi notam illiberalitatis ei "imprimere videtur. Rursùs alii quantum possideant, cæteros ignorare

a Ὅπου] Eadem est voculæ hujus vis 2 *Pet.* ii. 11. quod ante nos observavit Cl. *Blackwallus.*

b Οἷος] Ità *Gabrielis et Camerarii* exemplaria: quam lectionem vulgatæ illi ὅλως anteponendam censuit Stephanus, et ipse haud cunctanter recepi. Οἷος enim respondet illi τοιῦτος, sive expresso, (ut in hoc loco) sive subaudito ut ἀπομν. β'. sub finem: ὐ γὰρ ἦν οἷος ἀπὸ παντὸς κερδαίνειν. *Muretus* legit ὡς

" λέγουσιν ὅσα ἂν ἔχωσι· πονηροὶ δὴ καὶ οὗτοι τοῖς φίλοις ἔμοιγε " δοκοῦσιν εἶναι· διὰ γὰρ τὸ μὴ εἰδέναι τὰ ὄντα, πολλάκις δεό- " μενοι οὐκ ἐπαγγέλλουσιν οἱ φίλοι τοῖς ἑταίροις, ἀλλ᾽ ἀπατῶν- " ται. Ἁπλουστάτου δέ μοι, ἔφη, δοκεῖ εἶναι τὸ τὴν δύναμιν φα- " νερὰν ποιήσαντα, ἐκ ταύτης ἀγωνίζεσθαι περὶ καλοκἀγα- " θίας. Κἀγὼ οὖν, ἔφη, βούλομαι ὑμῖν, ὅσα μὲν οἷόν τ᾽ ἐστὶν " ἰδεῖν τῶν ἐμοὶ ὄντων, δεῖξαι· ὅσα δὲ μὴ οἷόν τε ἰδεῖν, διηγή- " σασθαι." Ταῦτα εἰπὼν, τὰ μὲν ἐδείκνυε πολλά τε καὶ καλὰ κτή- ματα· τὰ δὲ κείμενα ὡς μὴ ῥᾴδια εἶναι ἰδεῖν, διηγεῖτο· τέλος δὲ εἶπεν ὧδε, " Ταῦτα, ἔφη, ὦ ἄνδρες, ἅπαντα δεῖ ὑμᾶς οὐδὲν " μᾶλλον ἐμὰ ἡγεῖσθαι ἢ καὶ ὑμέτερα· ἐγὼ γὰρ, ἔφη, ταῦτα " ἀθροίζω οὐχ ὅπως αὐτὸς καταδαπανήσω, οὐδ᾽ ὅπως αὐτὸς κα- " τατρίψω· (οὐ γὰρ ἂν δυναίμην) ἀλλ᾽ ὅπως ἔχω τῷ τε ἀεὶ " ὑμῶν καλόν τι ποιοῦντι διδόναι, καὶ ὅπως ἤν τις ὑμῶν τινὸς ἐν- " δεῖσθαι νομίσῃ, πρὸς ἐμὲ ἐλθὼν λάβῃ οὗ ἂν ἐνδεὴς τυγχάνῃ " ὤν." Καὶ ταῦτα μὲν οὕτως ἐλέχθη.

Ἡνίκα δὲ ἤδη αὐτῷ ἐδόκει καλῶς ἔχειν τὰ ἐν Βαβυλῶνι ὡς καὶ ἀποδημεῖν, συνεσκευάζετο τὴν εἰς Πέρσας πορείαν, καὶ τοῖς ἄλλοις παρήγγειλεν· ἐπεὶ δὲ ἐνόμισεν ἱκανὰ ἔχειν ὧν ᾤετο δεήσεσθαι, οὕτω δὴ ἀνεζεύγνυε. Διηγησόμεθα δὲ καὶ ταῦτα, ὡς πολὺς στόλος ὤν, εὐτάκτως μὲν κατεσκευάζε- το, καὶ πάλιν ἀνεσκευάζετο, κατεχωρίζετο δὲ ταχὺ ὅπου

" volunt; qui et ipsi mihi sanè videntur malè de amicis mereri: nam quia " facultates eorum ignorantur, sæpè amici egentes sodalibus quid sibi opus " sit non significant, sed decipiuntur. Id mihi simplicissimi videtur *homi-* " *nis* esse, ut ostensis facultatibus *suis*, pro earum ratione benignitatis lau- " dem sibi parare contendat. Quamobrem et ipse vobis monstrare volo, " quascunque facultates meas videre licet; et quas videre non licet, *eas* " oratione vobis exponam." Hæc loquutus, alias quidem opes, et multas et pulchras, *eis* commonstrabat; alias verò sic positas, ut facilè conspici non possent, commemorabat: tandémque dixit, " Hæc omnia vos nihilo " magis mea quàm vestra ducere convenit: nam equidem ea colligo, non ut " ipse absumam, nec ut ipse conteram; (quod à me quidem fieri non pos- " set) sed partim ut habeam, quod alicui vestrûm quovis tempore præcla- " rum aliquod facinus edenti largiar, partim ut si quis vestrûm egere se " aliquâ re arbitretur, ad me veniat, et quidquid fortè desiderat, accipiat." Hæc in hunc modum dicta fuerunt.

Cùm autem res ità Babylone constitutas existimaret, ut etiam inde abesse posset, iter in Persiam parabat, cæterisque *idem faciendum* denuntiabat: ac postquam satìs eorum habere se putaret, quibus opus sibi fore existima- bat, *Babylone* movit. Nos autem et hæc commemoraturi sumus, *quàm scilicet*, numerosus cùm esset exercitus, ordinatè tum *depositis impedimen- tis* castra metaretur, tum *vasis rursùm collectis* castra moveret, celeritérque

θοιτο. Ὅπου γὰρ ἂν στρατοπεδεύηται βασιλεὺς, σκηνὰς μὲν δὴ ἔχοντες πάντες οἱ ἀμφὶ βασιλέα στρατεύονται καὶ θέρους καὶ χειμῶνος. Εὐθὺς δὲ τοῦτο ἐνόμιζε Κῦρος, πρὸς ἕω βλέπουσαν ἵστασθαι τὴν σκηνήν· ἔπειτα ἔταξε πρῶτον μὲν πόσον δεῖ ἀπολιπόντας σκηνοῦν τοὺς δορυφόρους τῆς βασιλικῆς σκηνῆς· ἔπειτα σιτοποιοῖς μὲν χώραν ἀπέδειξε τὴν δεξιὰν, ὀψοποιοῖς δὲ τὴν ἀριστερὰν, ἵπποις δὲ τὴν δεξιὰν, ὑποζυγίοις δὲ τοῖς ἄλλοις τὴν ἀριστεράν· καὶ τἆλλα δὲ διετέτακτο, ὥστε εἰδέναι ἕκαστον τὴν ἑαυτοῦ χώραν καὶ μέτρῳ καὶ τόπῳ. Ὅταν δὲ ἀνασκευάζωνται, συντίθησι μὲν ἕκαστος σκεύη οἷσπερ τέτακται χρῆσθαι, ἀνατίθενται δ' αὖ ἄλλοι ἐπὶ τὰ ὑποζύγια· ὥσθ' ἅμα μὲν πάντες ἔρχονται οἱ σκευαγωγοὶ [a] ἐπὶ τὰ τεταγμένα ἄγειν, ἅμα δὲ πάντες ἀνατιθέασιν ἐπὶ τὰ ἑαυτοῦ ἕκαστος. Οὕτω δὴ ὁ αὐτὸς χρόνος ἀρκεῖ μιᾷ τε σκηνῇ καὶ πάσαις ἀνῃρῆσθαι. Ὡσαύτως ὅπως ἔχει καὶ περὶ [b] κατασκευῆς. Καὶ περὶ τοῦ πεποιῆσθαι δὲ τὰ ἐπιτήδεια πάντα ἐν καιρῷ, ὡσαύτως διατέτακται ἑκάστοις τὰ ποιητέα· καὶ διὰ τοῦτο ὁ αὐτὸς χρόνος ἀρκεῖ ἑνί τε μέρει καὶ πᾶσι πεποιῆσθαι. Ὥσπερ δὲ οἱ περὶ τὰ ἐπιτήδεια θεράποντες χώραν εἶχον τὴν προσήκουσαν ἕκαστοι, οὕτω καὶ οἱ ὁπλοφόροι αὐτῷ ἐν τῇ στρατοπεδεύσει χώραν τε εἶχον τὴν τῇ ὁπλίσει

se quo oporteret loco disponeret. Nam ubicunque castra rex habet, *ibi* quidem omnes qui circa regem esse solent, tentoriis sibi collocatis tam æstate quàm hyeme militant. Statim autem Cyrus hoc instituit, tentorium *nempe* ità figi ut orientem spectaret: deinde primùm quanto intervallo à tabernaculo regio abesse satellitum tentoria deberent, constituit; tum locum dextrum iis, quibus esset mandata panis conficiendi cura, adsignavit; iis, qui obsoniis adparandis operam dabant, sinistrum; equis item dextrum, sinistrum jumentis cæteris: erant sic etiam descripta cætera, ut quisque stationem suam tum mensurâ tum loco nôsset. Cùm verò vasa colligunt, quisque vasa illa componit, quorum ipsi adsignatus est usus: ac rursùm alii jumentis *ea* imponunt: quo fit, ut simul omnes impedimentorum vectores ad ea veniant, quibus vehendis ipsi sunt destinati; et simul quisque *suis jumentis sua* imponat. Ità tempus idem uni tabernaculo et omnibus tollendis sufficit. Eadem est impedimenta deponendi ratio. Prætereà singulis est imperatum quid facere debeant, ut omnia necessaria parentur opportunè: idcircò tempus idem et uni parti et omnibus parandis sufficit. Atque uti erat locus ministris singulis hæc necessaria curantibus conveniens, sic et armati milites in metatione castrorum locum illum habebant, qui armaturæ

a Ἐπὶ τὰ τεταγμένα, &c.] Stephano in mentem venit esse legendum, ἐπὶ τὸ τὰ τεταγμένα, &c. quam correctionem adprobo.

b Κατασκευῆς. Καὶ, &c.] Sic MS. Bodl. et editi libri, quos vidi, omnes: Stephano tamen hæc orationis structura displicuit, et ità tandem emendanda visa est: ὡσαύτως ὅπως ἔχει καὶ περὶ κατασκευῆς, καὶ περὶ τοῦ πεποιῆσθαι δὲ τὰ ἐπιτήδεια. πάντα ἐν καιρῷ· ὡσαύτως γὰρ διατέτακται ἑκάστοις τὰ ποιητέα. Parva quidem est mutatio, sed adeò apta, ut si vel unus præiret codex, in contextu mihi exprimenda videretur

ἑκάςῃ ἐπιτηδείαν, καὶ ᾔδεσαν ταύτην ὁποία ἦν, καὶ [a] εἰς ἀναμφισβήτητον πάντες κατεχωρίζοντο. [b] Καλὸν μὲν γὰρ ἡγεῖτο ὁ Κῦρος καὶ ἐν οἰκίᾳ εἶναι ἐπιτήδευμα τὴν εὐθημοσύνην· (ὅταν γάρ τις του δέηται, δῆλόν ἐςιν ὅπου δεῖ ἐλθόντα λαβεῖν) πολὺ δὲ ἔτι κάλλιον ἐνόμιζε τὴν τῶν ςρατιωτικῶν φυλῶν εὐθημοσύνην εἶναι, ὅσῳ τε ὀξύτεροι οἱ καιροὶ τῶν εἰς τὰ πολεμικὰ χρήσεων, καὶ μείζω τὰ σφάλματα ἀπὸ τῶν ὑςεριζόντων ἐν αὐτοῖς· ἀπὸ δὲ τῶν ἐν καιρῷ παραγινομένων πλεῖςου [c] ἄξια ταῦτα τὰ κτήματα ἑώρα γινόμενα ἐν τοῖς πολεμικοῖς· διὰ ταῦτα οὖν καὶ ἐπεμέλετο ταύτης τῆς εὐθημοσύνης μάλιςα. Καὶ αὐτὸς μὲν δὴ πρῶτος ἑαυτὸν ἐν μέσῳ κατετίθετο τοῦ ςρατοπέδου, ὡς ταύτης τῆς χώρας ἐχυρωτάτης οὔσης· ἔπειτα δὲ τοὺς μὲν πιςοτάτους, ὥσπερ εἰώθει, περὶ ἑαυτὸν εἶχε, τούτων δὲ ἐν κύκλῳ ἐχομένους ἱππέας τ' εἶχε καὶ ἁρματηλάτας. Καὶ γὰρ τούτους ἐχυρᾶς ἐνόμιζε χώρας δεῖσθαι, ὅτι σὺν οἷς μάχονται ὅπλοις οὐδὲν πρόχειρον ἔχοντες τούτων ςρατοπεδεύονται, ἀλλὰ πολλοῦ χρόνου δέονται εἰς τὴν ἐξόπλισιν, εἰ μέλλουσι χρησίμως ἕξειν. Ἐν δεξιᾷ δὲ καὶ ἐν ἀριςερᾷ αὐτοῦ τε καὶ τῶν ἱππέων πελταςαῖς χώρα ἦν· τοξόταις δ' αὖ χώρα ἡ πρόσθεν ἦν καὶ ὄπισθεν αὐτοῦ τε καὶ τῶν ἱππέων. Ὁπλί-

cuivis aptus esset, et quis is esset, nôrant, atque *adeò* universi eum sic occupabant, ut minimè de eo ambigerent. Nimirum Cyrus arbitrabatur etiam in familiâ præclarum esse studium collocationis aptæ: (nam *hoc modo* si aliquâ re quis indiget, planum est quò ire debeat, ut eam sumat) sed multò pulchrius existimabat esse, militares tribus aptè atque ordine disponi, cùm in usu rerum bellicarum quanto magìs subitæ sunt temporis opportunitates, tanto graviores ab iis *oriuntur* offensiones, qui negligentiâ suâ *et tarditate* eas sibi præripi sinunt: per illos verò, qui maturè adsunt, ea fieri videbat, quæ bellicis in rebus quantivis pretii sunt: his igitur de causis aptæ hujus collocationis erat perstudiosus. Ac primus quidem ipse castrorum in medio se collocabat, quòd is locus esset quàm munitissimus: deinde circum se fidissimos *quosque*, sicut *et aliàs* consueverat, habebat; atque his orbe facto proximi erant tum equites tum curruum ductores. Etenim arbitrabatur his loco tuto esse opus, quòd ità in castris agant, ut armis illis, quibus *in hostem* pugnant, expeditè uti non possint; sed longo tempore ad armandum se indigeant, si *quidem* utiliter efferre *in aciem ea* velint. Parte verò tum ipsius tum equitum dextrâ et lævâ peltastarum locus erat; sagittariorum tam ante quàm post ipsum, et post equites. Gravis armaturæ milites et

a Εἰς] Edit. *Ald.* ἐπ' ἀναμφ. malè. MS. Bodl. ἐς. et paulò infra ἐς Πέρσας ἐπορεύετο. Utrobique Atticè.

b Καλὸν μὲν γὰρ, &c.] Quemadmodùm et *Hesiodus* Ἔργων κ. ἡμ. v. 471. et seq.

—— εὐθημοσύνη γὰρ ἀρίςη
Θνητοῖς ἀνθρώποις, κακοθημοσύνη δὲ κακίςη.

In edit. *Ald.* et MSto Bodl. perperam legitur εὐθυμοσύνην.

c Ἄξια ταῦτα τὰ, &c.] In edit. *Ald.* non comparet ταῦτα. quod et MS. Bodl. in margine tantùm agnoscit, nec loci postulat sententia.

της δὲ καὶ τοὺς τὰ μεγάλα γέρρα ἔχοντας κύκλῳ πάντων εἶχεν, ὥσπερ τεῖχος· ὅπως καὶ εἰ δέοι τι ἐνσκευάζεσθαι τοὺς ἱππέας, οἱ μονιμώτατοι πρόσθεν ὄντες παρέχοιεν αὐτοῖς ἀσφαλῆ τὴν καθόπλισιν. Ἐκάθευδον δὲ αὐτῷ ἐν τάξει ὥσπερ οἱ ὁπλῖται, οὕτω δὲ καὶ οἱ πελτασταὶ καὶ οἱ τοξόται· ὅπως καὶ ἐκ τῶν νυκτῶν, εἰ δέοι τι, ὥσπερ καὶ οἱ ὁπλῖται παρεσκευασμένοι εἰσὶ παίειν τὸν εἰς χεῖρας ἰόντα, οὕτω καὶ οἱ τοξόται καὶ οἱ ἀκοντισταί, εἴ τινες προσίοιεν, ἐξ ἑτοίμου ἀκοντίζοιεν καὶ τοξεύοιεν ὑπὲρ τῶν ὁπλιτῶν. Εἶχον δὲ καὶ σημεῖα πάντες οἱ ἄρχοντες ἐπὶ ταῖς σκηναῖς· [a] οἱ δὲ ὑπηρέται, ὥσπερ καὶ ἐν ταῖς πόλεσιν οἱ σώφρονες ἴσασι μὲν καὶ τῶν πλείστων τὰς οἰκήσεις, μάλιστα δὲ τῶν ἐπικαιρίων· οὕτω καὶ τῶν ἐν τοῖς στρατοπέδοις τάς τε χώρας τὰς τῶν ἡγεμόνων ἠπίσταντο οἱ Κύρου ὑπηρέται, καὶ τὰ σημεῖα ἐγίγνωσκον ἃ ἑκάστοις ἦν· ὥστε ὅτου δέοιτο Κῦρος, οὐκ ἐζήτουν, ἀλλὰ τὴν συντομωτάτην ἐφ' ἕκαστον ἔθεον. Καὶ διὰ τὸ εἰλικρινῆ ἕκαστα εἶναι τὰ φῦλα, πολὺ μᾶλλον ἦν δῆλα καὶ ὁπότε τις εὐτακτοίη, καὶ εἴ τις μὴ πράττοι τὸ προσταττόμενον· οὕτω δὴ ἐχόντων, ἡγεῖτο, εἴ τις ἐπιθεῖτο νυκτὸς ἢ ἡμέρας, ὥσπερ ἂν εἰς ἐνέδραν εἰς τὸ στρατόπεδον τοὺς ἐπιτιθεμένους ἐμπίπτειν. Καὶ τὸ τακτικὸν δὲ εἶναι οὐ τοῦτο μόνον ἡγεῖτο εἴ τις ἐκτεῖναι φάλαγγα εὐπόρως δύναιτο, ἢ βαθῦναι, ἢ ἐκ κέρατος εἰς φάλαγγα κα-

qui scuta majora gestabant *suis* omnibus circumdabat, tanquam murum; ut, si necesse esset equites separare, maximè statarii milites ante ipsos essent, tutúmque spatium eis ad arma capienda præberent. Et quemadmodùm gravis armaturæ milites, sic et peltastæ et sagittarii somnum instructi capiebant; ut etiam noctu, si quid usus posceret, perinde ac gravis armaturæ milites parati sunt ad feriendos eos qui cominùs invadunt, sic et sagittarii et jaculatores pro gravis armaturæ militibus, si qui *hostes* accederent, promptè sagittis et jaculis suis uterentur. Prætereà *certa quædam* signa præfecti omnes ad tabernacula habebant: ministri autem, non aliter ac in urbibus illi, qui frugi sunt et *prudentes*, plurimorum domos nôrunt, et eorum præsertim, quos interest *nôsse;* sic, *inquam*, et Cyri ministri loca ducum in castris, et singulorum signa nôrunt: adeò ut si alicujus operâ Cyrus egeret, *hunc illi* non quærebant, sed viâ quàm maximè compendiariâ ad unumquemque currebant. Et quia singulæ nationes secretæ, minimèque inter se confusæ erant, multò etiam magis patebat, sive quis ordinis observans esset, sive, quod esset imperatum, non faceret: atque hoc modo cùm essent comparati, futurum arbitrabatur, ut si quis vel noctu vel interdiu *suos* adoriretur, in castra *sua*, tanquam in insidias, adgrediendo incideret. Ac tacticum esse non id solum arbitrabatur, si quis extendere phalangem facilè possit, vel densare, vel de cornu in phalangem redigere, vel prout hostes

a Οἱ δὲ ὑπηρέται —— οἱ Κύρου ὑπηρέται] Vide suprà dicta de repetitione vocis στρατιώτας p. 354 not. b.

ταχθῆναι, ἢ ἐκ δεξιᾶς, ἢ ἀριστερᾶς, ἢ ὄπισθεν ἐπιφανέντων τῶν πολεμίων, ὀρθῶς ἐξελίξαι· ἀλλὰ καὶ διασπᾶν, ὁπότε δέοι, τακτικὸν ἡγεῖτο, καὶ τὸ τιθέναι γε τὸ μέρος ἕκαστον ὅπου μάλιστα ἐν ὠφελείᾳ ἂν εἴη, καὶ τὸ ταχύνειν δὲ ὅπου φθάσαι δέοι· πάντα ταῦτα καὶ τὰ τοιαῦτα [a] τακτικοῦ ἀνδρὸς ἐνόμιζεν εἶναι, καὶ ἐπεμελεῖτο τούτων πάντων ὁμοίως· καὶ ἐν μὲν ταῖς πορείαις πρὸς τὸ συμπίπτον ἀεὶ διατάττων ἐπορεύετο, ἐν δὲ τῇ στρατοπεδεύσει ὡς τὰ πολλὰ ὥσπερ εἴρηται κατεχώριζεν.

Ἐπεὶ δὲ πορευόμενοι γίγνονται κατὰ τὴν Μηδικὴν, τρέπεται ὁ Κῦρος πρὸς Κυαξάρην. Ἐπεὶ δὲ ἠσπάσαντο ἀλλήλους, πρῶτον μὲν δὴ ὁ Κῦρος εἶπε τῷ Κυαξάρει ὅτι οἶκος αὐτῷ ἐξῃρημένος εἴη ἐν Βαβυλῶνι καὶ ἀρχεῖα, ὅπως ἔχῃ, καὶ ὅταν ἐκεῖσε ἔλθῃ, ὡς εἰς οἰκεῖα κατάγεσθαι· ἔπειτα δὲ καὶ ἄλλα δῶρα ἔδωκεν αὐτῷ πολλὰ καὶ καλά. Ὁ δὲ Κυαξάρης ταῦτα μὲν ἐδέξατο, προσέπεμψε δὲ αὐτῷ τὴν θυγατέρα στέφανόν τε χρυσοῦν καὶ ψέλλια φέρουσαν, καὶ στρεπτὸν καὶ στολὴν Μηδικὴν ὡς δυνατὸν καλλίστην. Καὶ ἡ μὲν δὴ παῖς ἐστεφάνου τὸν Κῦρον· ὁ δὲ Κυαξάρης εἶπε, Δίδωμι δέ σοι, ὦ Κῦρε, καὶ αὐτὴν ταύτην γυναῖκα, ἐμὴν οὖσαν θυγατέρα· καὶ ὁ σὸς δὲ πατὴρ ἔγημε τὴν τοῦ ἐμοῦ πατρὸς θυγατέρα, ἐξ ἧς σὺ ἐγένου· αὕτη δέ ἐστιν ἣν σὺ πολλά-

conspecti fuerint dextrorsùm, sinistrorsum, à tergo, rectè *eam* explicare; sed etiam posse distrahere, cùm necessitas postulat, pertinere ad aciei instruendæ rationem putabat; ac partem quamlibet eo loco collocare, quo plurimùm sit profutura; et accelerare cùm opus est antevertere: hæc omnia et his similia putabat ejus esse viri qui struendæ aciei peritus esset, atque hæc pariter omnia curæ habebat: ac in itineribus quidem semper ad id quod accideret *aliter atque aliter* ordinatis copiis pergebat; sed in metatione castrorum plerumque illâ, quam diximus, dispositione utebatur.

Cùm autem progrediendo Medorum in regionem pervenissent, Cyrus ad Cyaxarem divertit. Cúmque se mutuò complexi salutâssent, primùm Cyrus Cyaxari dixit, domum et curiam ei Babylone selectam esse; ut, cùm eò etiam veniret, tanquam in sua divertere posset: deinde munera quoque alia permulta et insignia ei donavit. His Cyaxares acceptis filiam ad ipsum mittit, quæ ei coronam auream, et armillas, et torquem, et Medicam vestem quàm fieri potuit pulcherrimam adferebat. Et puella Cyrum coronabat: Cyaxares verò ait, Hanc ipsam tibi, Cyre, uxorem trado, quæ mea est filia: pater quoque tuus patris mei filiam uxorem duxit, quâ tu natus es: atque hæc illa est, cui tu puer sæpenumerò, cùm apud nos esses, more nu-

a Τακτικοῦ ἀνδρὸς] Eos Antiqui vocabant τακτικοὺς, qui ea, quæ ad acierum instruendarum scientiam pertinent, vel scriptis tradebant, vel usu ipso alios edocebant. Vide, si libet, quæ notata sunt à doctis, *Causab.* ad titulum *Æneæ* comment. polior. et ab *Acerio.* ad præf. *Ælia. tactic.*

κις, παῖς ὢν, ὅτε παρ' ἡμῖν ἦσθα, ἐτιθηνήσω· καὶ ὁπότε τις ἐρωτῴη αὐτὴν τίνι γαμοῖτο, ἔλεγεν ὅτι Κύρῳ· ἐπιδίδωμι δὲ αὐτῇ ἐγὼ καὶ φερνὴν Μηδίαν τὴν πᾶσαν· οὐδὲ γάρ ἐςί μοι ἄῤῥην παῖς γνήσιος. Ὁ μὲν οὕτως εἶπεν· ὁ δὲ Κῦρος ἀπεκρίνατο, Ἀλλ', ὦ Κυαξάρη, τό τε γένος ἐπαινῶ καὶ τὴν παῖδα, καὶ δῶρα· βούλομαι δὲ, ἔφη, σὺν τῇ τοῦ πατρὸς γνώμῃ καὶ τῇ τῆς μητρὸς ταῦτά σοι συναινέσαι. Εἶπε μὲν οὕτως ὁ Κῦρος· ὅμως δὲ τῇ παιδὶ πάντα ἐδωρήσατο ὁπόσα ᾤετο καὶ τῷ Κυαξάρει χαριεῖσθαι. Ταῦτα δὲ ποιήσας, εἰς Πέρσας ἐπορεύετο.

Ἐπεὶ δὲ ἐπὶ Περσῶν ὁρίοις ἐγένετο πορευόμενος, τὸ μὲν ἄλλο ςράτευμα αὐτοῦ κατέλιπεν, αὐτὸς δὲ σὺν τοῖς φίλοις εἰς τὴν πόλιν ἐπορεύετο, [a] ἱερεῖα μὲν ἄγων ὡς πᾶσι Πέρσαις ἱκανὰ θύειν τε καὶ ἑςιᾶσθαι· δῶρα δ' ἦγεν οἷα μὲν ἔπρεπε τῷ πατρὶ καὶ τῇ μητρὶ καὶ τοῖς ἄλλοις φίλοις, οἷα δὲ ἔπρεπε ταῖς ἀρχαῖς καὶ γεραιτέροις καὶ τοῖς ὁμοτίμοις πᾶσιν· ἔδωκε δὲ καὶ πᾶσι Πέρσαις καὶ Περσίσιν ὅσα περ καὶ νῦν ἔτι δίδωσιν ὅταν περ [b] ἀφίκηται βασιλεὺς εἰς Πέρσας. Ἐκ δὲ τούτου συνέλεξε Καμβύσης τοὺς γεραιτέρους Περσῶν, καὶ τὰς ἀρχὰς, οἵπερ τῶν μεγίςων κύριοί εἰσι· παρεκάλεσε δὲ καὶ Κῦρον, καὶ ἔλεξε τοιάδε·

tricis blandiebare: cúmque interrogabatur ab aliquo, cuinam esset nuptura, Cyro *se nupturam* respondebat: addo nomine dotis Mediam universam; nec enim mihi soboles sexûs virilis ulla est legitima. Hæc erant Cyaxaris verba: cui *sic* respondit Cyrus, Equidem, Cyaxares, et genus laudo et puellam, et munera: sed in his, inquit, tibi de sententiâ patris ac matris adsentiri volo. Et quanquam hæc itâ Cyrus diceret, puellæ tamen omnia donabat, quæcunque grata Cyaxari futura putabat. Atque his peractis, in Persiam itér faciebat.

Cúmque pergendo Persarum ad fines pervenisset, copias ibidem cæteras reliquit; ipse cum amicis ad urbem contendit, animantes secum ducens, quæ Persis universis tam ad sacrificia quàm ad epulas sufficerent: munera ferebat etiam qualia patri, matri, amicis cæteris dari deceret; et qualia magistratibus, senioribus, iisque omnibus qui ὁμότιμοι adpellantur, convenirent: præterea cunctis in Persiâ viris ac fœminis ea largiebatur, quæcunque solet hâc etiam tempestate largiri rex, cùm in Persiam venit. Deinde convocatis Cambyses Persarum senioribus, et illis magistratibus, penes quos *illic* rerum maximarum potestas est, Cyrum etiam arcessivit, et in hanc sententiam dixit:

a Ἱερεῖα] Vide sis quæ notavimus p. 34 not. b.

b Ἀφίκηται βασιλεὺς εἰς, &c.] Rectè dicitur rex *Persarum* ἀφικνεῖσθαι, ἐξιέναι, ἐλαύνειν εἰς Πέρσας, quando ex Aulâ suâ et urbe regiâ prodit in publicum, in agrum et regionem populi sui. Quin itâ planè (uti Cl. *Perizon.* notavit) etiam privati cives ex ædibus suis in Forum et Concionem Atheniensium prodeuntes dicuntur *Æli* H. V. lib. 2. c. 16. παρελθόντες εἰς τοὺς Ἀθηναίους. Eâ verò potissimùm de causâ Noster Aliique sæpè dicunt, *regem Persarum in Persida profectum esse*, vel, *venisse* εἰς Πέρσας, quòd hic neutiquam habitârit semper in Persi-de, sed plerumque extra eam, modò Susis, modò Ecbatanis, modò Babylone, rariùs Persepoli.

"Ἄνδρες Πέρσαι, καὶ σὺ ὦ Κῦρε, ἐγὼ ἀμφοτέροις ὑμῖν εἰκότως εὔνους εἰμί· ὑμῶν μὲν γὰρ βασιλεύω· σὺ δὲ, ὦ Κῦρε, "παῖς ἐμὸς εἶ. Δίκαιος οὖν εἰμὶ, ὅσα γιγνώσκειν δοκῶ ἀγαθὰ "ἀμφοτέροις, ταῦτα εἰς τὸ μέσον λέγειν. Τὰ μὲν γὰρ παρελ"θόντα ὑμεῖς μὲν Κῦρον ηὐξήσατε, στράτευμα δόντες, καὶ ἄρ"χοντα τούτου αὐτὸν καταστήσαντες· Κῦρος δὲ ἡγούμενος τούτου "σὺν θεοῖς εὐκλεεῖς μὲν ὑμᾶς, ὦ Πέρσαι, ἐν πᾶσιν ἀνθρώποις "ἐποίησεν, ἐντίμους δ' ἐν τῇ Ἀσίᾳ πάσῃ· τῶν δὲ συστρατευσαμέ"νων αὐτῷ τοὺς μὲν ἀρίστους καὶ πεπλούτικε, τοῖς δὲ πολλοῖς "μισθὸν καὶ τροφὴν παρεσκεύακεν· ἱππικὸν δὲ καταστήσας Περ"σῶν, πεποίηκε Πέρσαις καὶ πεδίων εἶναι μετουσίαν. Ἢν μὲν "οὖν καὶ τολοιπὸν οὕτω γιγνώσκητε, πολλῶν καὶ ἀγαθῶν αἴτιοι "ἀλλήλοις ἔσεσθε· εἰ δὲ ἢ σὺ, ὦ Κῦρε, ἐπαρθεὶς ταῖς παρού"σαις τύχαις, ἐπιχειρήσεις καὶ Περσῶν ἄρχειν ἐπὶ πλεονεξίᾳ, "ὥσπερ τῶν ἄλλων, ἢ ὑμεῖς, ὦ πολῖται, φθονήσαντες τούτῳ τῆς "δυνάμεως, καταλύειν πειράσεσθε τοῦτον τῆς ἀρχῆς, εὖ ἴστε ὅτι "ἐμποδὼν ἀλλήλοις πολλῶν καὶ ἀγαθῶν ἔσεσθε. Ὡς οὖν μὴ "ταῦτα γίγνηται, ἀλλὰ τἀγαθὰ, ἐμοὶ δοκεῖ, ἔφη, θύσαντας "[a] ὑμᾶς κοινῇ, καὶ θεοὺς ἐπιμαρτυραμένους συνθέσθαι, σὲ μὲν, "ὦ Κῦρε, [b] ἤν τις ἢ ἐπιστρατεύηται χώρᾳ Περσίδι, ἢ Περσῶν

"Meritò ego, Persæ, túque *itidem* Cyre, benevolentiâ vos complector "utrosque: nam *ut* rex vobis sum, *ità* tu, Cyre, mihi filius es. Quamo"brem æquum est, me, quæcunque animadvertere mihi videor in rem utris"que futura, in medium ea proferre. Quod enim attinet præterita, vos "Cyrum auxistis, cùm exercitu tradito illum etiam ei imperatorem consti"tueritis: Cyrus ducis munere fungens, diis juvantibus, vobis quidem, Persæ, "apud omnes homines celebritatem nominis, et honorem per Asiam uni"versam conciliavit: præstantissimos autem eorum, qui cum eo militárunt, "opulentos etiam reddidit; vulgo *militum* stipendia et victum paravit: "quin et Persarum equitatu instituto perfecit, ut etiam loca *plana* et cam"pestria Persæ sibi vindicare possint. Itaque si deinceps etiam in hâc "sententiâ perstiteritis, multarum *bonarúm*que rerum auctores invicem "vobis eritis: sin autem vel tu, Cyre, præsenti felicíque *adeò* rerum statu "elatus, perinde Persis imperare tui cum captatione commodi conabere, ut "cæteris; vel vos, cives, potestatis hujus invidi, imperium ipsi abrogare "tentabitis, certò scitote *vosmetipsos* mutuò vobis in multis et præclaris "rebus futuros impedimento. Quapropter ut hæc non accidant, sed bona "*potiùs*, visum est mihi, posteaquam rem sacram communiter feceritis, "deósque fueritis testati, *sic vobis* paciscendum esse, ut tu quidem, Cyre, "si quis vel in terram Persidem copias hostiles ducat, vel leges Persarum

a Ὑμᾶς] MS. Bodl. ἡμᾶς, quod Leunclavius in loco vertendo exprimit. Malim lectionem vulgatam sequi.

b Ἤν τις ἢ ἐπιστρατεύηται] Hunc verborum ordinem restituendum rectè monuerunt Stephanus et Leunclavius. Priùs particula ἢ perperam post ἐπιστρατεύηται posita erat.

"νόμους διαλύειν πειρᾶται, βοηθήσειν παντὶ σθένει· ὑμᾶς δὲ, "ὦ Πέρσαι, ἤν τις ἢ ἀρχῆς Κῦρον ἐπιχειρῇ καταπαύειν, ἢ "[a] ἀφίςασθαί τις τῶν ὑποχειρίων, βοηθήσειν καὶ ὑμῖν αὐτοῖς "καὶ Κύρῳ καθ' ὅ,τι ἂν ἐπαγγέλλῃ. Καὶ ἕως μὲν ἂν ἐγὼ "ζῶ, ἐμὴ γίγνηται ἡ ἐν Πέρσαις βασιλεία· ὅταν δ' ἐγὼ τε- "λευτήσω, δῆλον ὅτι Κύρȣ, ἐὰν ζῇ. Καὶ ὅταν μὲν ὅτος [b] ἀφί- "κηται εἰς Πέρσας, ὁσίως ἂν ὑμῖν ἔχοι, τȣτον θύειν τὰ ἱερὰ "ὑπὲρ ὑμῶν ἅπερ νῦν ἐγὼ θύω· ὅταν δ' ὅτος ἔκδημος ᾖ, καλῶς "ἂν οἶμαι ὑμῖν ἔχειν, εἰ ἐκ τȣ γένȣς ὃς ἂν δοκῇ ὑμῖν ἄριστος "εἶναι, ὅτος τὰ τῶν θεῶν ἀποτελοίη." Ταῦτα εἰπόντος Καμ- βύσȣ, συνέδοξε Κύρῳ τε καὶ τοῖς Περσῶν τέλεσι· καὶ συνθέμε- νοι ταῦτα τότε, καὶ θεὲς ἐπιμαρτυράμενοι, ὅτω καὶ νῦν ἔτι δια- μένȣσι ποιȣ͂ντες πρὸς ἀλλήλȣς Πέρσαι τε καὶ βασιλεύς. Τȣ- των δὲ πραχθέντων, ἀπῄει ὁ Κῦρος.

Ὡς δ' ἀπιὼν ἐγένετο ἐν Μήδοις, συνδόξαν τῷ πατρὶ καὶ τῇ μητρὶ, γαμεῖ τὴν Κυαξάρου θυγατέρα, ἧς ἔτι καὶ νῦν λόγος ὡς παγκάλȣ γενομένης. (Ἔνιοι δὲ τῶν λογοποιῶν λέγȣσιν ὡς τὴν τῆς μητρὸς ἀδελφὴν ἔγημεν· ἀλλὰ γραῦς ἂν καὶ παντά- πασιν [c] ἦν ἡ παῖς.) Γήμας δὲ, εὐθὺς ἔχων ἀνεζεύγνυεν. Ἐπεὶ

"convellere conetur, omnibus viribus opem feras; vos verò, Persæ, si quis "vel Cyrum imperio spoliare, vel eorum aliquis, qui ejus in potestatem re- "dacti sunt, deficere conetur, tum vobis ipsis tum Cyro, prout denuntiârit, "subveniatis. Atque dum equidem vixero, meum esto in Persas imperium; "verùm ubi vivendi finem fecero, planum est, illud Cyri fore, si vivet. Et "is quidem cùm in Persiam veniet, piè feceritis si pro vobis hostias cædet, "quas ipse nunc cædo: ubi verò peregrè aberit, rectè vestra se res habebit, "ut arbitror, si is ex familiâ *nostrâ*, qui vobis optimus esse videbitur, rem "divinam perfecerit." Quæ Cambyses cùm protulisset, eadem tum à Cyro, tum à Persarum magistratibus, *decreto communi facto*, sunt adprobata: et *quemadmodùm* id temporis hæc pacti sunt, deósque contestati, sic et Persæ et rex inter se constanter eadem hoc etiam tempore observant. Atque his rebus peractis, Cyrus discessit.

Cúmque in Mediam pervenisset, de patris matrísque sententâ Cyaxaris filiam uxorem ducit: quam etiam nunc perhibent fuisse perpulchram. (Nonnulli autem scriptores historiarum aiunt, matris cum eo sororem fuisse nuptam: verùm ea virgo fuisset omnino *tunc* anus.) Nuptiis celebratis, mox cùm eâ discessit. Cúmque esset Babylone, visum est ei satrapas jam mit-

a Ἀφίςασθαί τις, &c.] Leunclavius scribendum censuit ἢ ἀφίςασθαί τι τῶν ὑποχειρίων, vel ἀφίςασθαί τινας τῶν, &c. *ut sua*, inquit, *verbo* ἀφίςασθαι *constet significatio.* Sed nil mutandum: nam ἀφίσταμαι, (unde ἀφίςασθαι) est *deficio, discedo à fide:* at ἀφίςημι (à quo ἀφίςασθαι minimè formatum esse, talem certè virum non latuit) est *absistere facio, ad defectionem solicito*, &c.

b Ἀφίκηται εἰς, &c.] Vide p. 452.

c Ἦν ἡ παῖς] Vox παῖς ponitur etiam (*Hesychio* teste) ἀντὶ παρθένου. Itaque Leunclavius et Gabrielius rectè eam verterunt *virgo*. Ille autem aliam lectionem

δ' ἐν Βαβυλῶνι ἦν, [a] ἐδόκει αὐτῷ σατράπας ἤδη πέμπειν ἐπὶ τὰ κατεστραμμένα ἔθνη. Τὲς μέντοι ἐν ταῖς ἄκραις φρεράρχες, καὶ τὲς χιλιάρχες τῶν κατὰ τὴν χώραν φυλακῶν, ἐκ ἄλλε ἢ ἑαυτῦ ἐβέλετο ἀκέειν· ταῦτα δὲ προεωρᾶτο, ἐννοῶν ὅπως, εἴ τις τῶν σατραπῶν ὑπὸ πλέτε καὶ πλήθες ἀνθρώπων ἐξυβρίσειε, καὶ ἐπιχειρήσειε μὴ πείθεσθαι, εὐθὺς [b] ἀντιπάλες ἔχοι ἐν τῇ χώρᾳ. Ταῦτ' ἒν βελόμενος πρᾶξαι, ἔγνω συγκαλέσαι πρῶτον τὲς ἐπικαιρίες, καὶ προειπεῖν, ὅπως εἰδεῖεν, [c] ἐφ' οἷς ἴασιν οἱ ἰόντες· ἐνόμιζε γὰρ ὕτω ῥᾴδιον φέρειν ἂν αὐτές. Ἐπεὶ δὲ καταςαίη τις ἄρχων, καὶ αἰσθάνοιτο ταῦτα, χαλεπῶς ἂν ἐδόκει αὐτῷ φέρειν, νομίζοντες δι' ἑαυτῶν ἀπιςίαν ταῦτα γενέσθαι. Οὕτω δὴ συλλέξας, λέγει αὐτοῖς τοιάδε·

tendos esse ad nationes in ditionem redactas. Præsidiorum verò magistros in arcibus, et tribunos eorum militum, qui per regionem in excubiis erant, alteri, quàm sibi, parere nolebat: atque hæc *ità* prospiciebat, cùm cogitaret eo pacto futurum ut, si quis satraparum opibus et homninum multitudine fretus insolenter se gereret, imperiúmque detrectare niteretur, mox adversarios *in* ipsâ regione haberet. Hæc igitur facere cùm vellet, primùm convocandos judicabat, quos pro tempore commodum esset, remque his priùs exponendam; ut quas ob causas mitterentur ii, qui mittendi essent, scirent: nam hâc ratione laturos id æquioribus animis arbitrabatur. Sin præfectus aliquis *jam* constitutus esset, atque hæc *deinde* animadverteret, graviter laturos arbitrabatur, *velut* existimantes hæc ideò fieri, quòd fides sibi non haberetur. Itaque convocatis iis, hujusmodi quædam loquutus est:

(ex ipsius, opinor, conjecturâ profectam) margini editionis suæ adscribendam curavit; nimirum hanc: —— ἦν οὐ παῖς· quæ Stephano valdè apta esse videtur. Ego certè, si loco movenda sit vulgata lectio, malim cum *Mureto* reponere ἄπαις pro ἢ παῖς· nihil enim obstare videtur, quo minùs ἄπαις, perinde atque ἄτοκος, sit κοινὸν ὄνομα τῆς τε μηκέτι τικτέσης, καὶ τῆς μηδόλως, uti loquitur *J. Pollux* lib. 3. *segm.* 15.

a Ἐδόκει αὐτῷ σατράπας, &c.] Quod de Cyro hoc loco Noster, id propheta *Daniel* (Babylone, ut videtur eruditis. *Usserio*, hoc tempore cum Cyro in Mediam profectus) de Cyaxare tradit, vi. 1. Commune forsan erat utriusque principis decretum: Cyrus enim regiones, Medicarum, quibus præfectus fuerat, copiarum operâ subactas, ad Cyaxaris ditionem se adjecisse professus est lib. 5. p. 322. ideóque ejus consilio, in superiori illo congressu (de quo vide p. 328.) adhibito, satrapiarum eam distributionem Cyrum instituisse, ut credamus par est. Ità ferè *Armachensis* ille ad annum M. 3466. P. J. 4176. ante æram Christ. 538.

b Ἀντιπάλες ἔχοι ἐν, &c.] MS. Bodl. εὐθὺς ἀντίπαλον ἔχοιεν τὴν χώραν. *Camerarii* liber ἀντίπαλα. Utrique anteferenda videtur vulgata lectio.

c Ἐφ' οἷς ἴασιν] Similiter ἐπὶ in hâc significatione tertio casui jungitur *Matt.* xxvi. 50. Non erat igitur, cur eruditiss. *Casaubonus* improbaret vulgatam istius commatis scripturam ἐφ' ᾧ πάρει; et alteram illam ἐφ' ὃ πάρει mallet, quam codex *Alexand.* aliique à doctiss. *Christ. Wolfio* memorati. repræsentant. Inauspicatò certè ad Xenophontem provocat vir doctissimus, quò suam stabiliret opinionem: Noster enim, et hâc et illâ sæpè usus structurâ, nunc quarto casui, nunc tertio præpositionem jungit istam. Sic l. 3. p. 158. ἐφ' οἷς τε ἐτρεφόμεθα, &c. l. 7. p. 365. ἐπ' ἀγαθῷ, πεφύκασι, l. 8. infra ἐφ' ᾧ Κῦρος αὐτὰ, &c. Alterius constructionis exempla ultrò se ubique ferè offerunt.

"Ἄνδρες φίλοι, εἰσὶν ἡμῖν ἐν ταῖς κατεστραμμέναις πόλεσι "φρουροὶ καὶ φρούραρχοι, οὓς τότε κατελίπομεν· καὶ τούτοις ἐγὼ "προστάξας ἀπῆλθον ἄλλο μὲν οὐδὲν πολυπραγμονεῖν, τὰ δὲ "τείχη διασώζειν. Τούτους μὲν οὖν οὐ παύσω τῆς ἀρχῆς, ἐπεὶ "καλῶς διαπεφυλάκασι τὰ προσταχθέντα· ἄλλους δὲ σατράπας "πέμψαι μοι δοκεῖ, οἵτινες ἄρξουσι τῶν ἐνοικούντων, καὶ τὸν δασ"μὸν λαμβάνοντες τοῖς τε φρουροῖς δώσουσι μισθὸν, καὶ ἄλλο τε"λέσουσιν ὅ,τι ἂν δέῃ. Δοκεῖ δέ μοι καὶ τῶν ἐνθάδε ὑμῶν οἷς "ἂν ἐγὼ πράγματα παρέχω, πέμπων πράξοντάς τι ἐπὶ ταῦτα "τὰ ἔθνη, χώρας γε νέμεσθαι καὶ οἴκους ἐκεῖ· ὅπως δασμοφο"ρῆται αὐτοῖς δεῦρο, ὅταν τε ἴωσιν ἐκεῖσε, εἰς οἰκεῖα ἔχωσι κα"τάγεσθαι." Ταῦτα εἶπε, καὶ ἔδωκε πολλοῖς τῶν φίλων κατὰ πάσας τὰς καταστραφείσας πόλεις οἴκους, καὶ ὑπηκόους· καὶ ἔτι νῦν εἰσι τοῖς ἀπογόνοις τῶν τότε λαβόντων αἱ χῶραι καταμένουσαι, ἄλλαι ἐν ἄλλῃ γῇ, αὐτοὶ δὲ οἰκοῦσι παρὰ βασιλεῖ. "Δεῖ δὲ, ἔφη, τοὺς ἰόντας σατράπας ἐπὶ ταύτας τὰς χώρας, "τοιούτους ὑμᾶς σκοπεῖν οἵτινες ὅ,τι ἂν ἐν τῇ γῇ ἑκάστῃ καλὸν ἢ "ἀγαθὸν ᾖ, μεμνήσονται καὶ δεῦρο ἀποπέμπειν· ὡς μετέχω"μεν καὶ οἱ ἐνθάδε ὄντες τῶν πανταχοῦ γιγνομένων ἀγαθῶν· "καὶ γὰρ ἤν τι που δεινὸν γίγνηται, ἡμῖν ἔσται ἀμυντέον." Ταῦτ' εἰπὼν, τότε μὲν ἔπαυσε τὸν λόγον· ἔπειτα δὲ οὓς ἐγίγνωσκε τῶν φίλων ἐπὶ τοῖς εἰρημένοις ἐπιθυμοῦντας ἰέναι, ἐκλεξάμενος αὐτῶν

"Sunt nobis, amici, subactis in urbibus et præsidiarii milites et eorum "præfecti, quos tunc reliquimus; atque his ego discedens præcepi nihil ut "aliud curiosè instituerent agere, sed *munitiones et* castella tuerentur. His "equidem magistratum non adimam, cùm præclarè quæ *ipsis* erant man"data conservârint: verùm alii mihi satrapæ mittendi videntur, qui *regio"num* incolis præsint, acceptóque tributo, tum præsidiariis militibus stipen"dium persolvant, tum quidquid prætereà necesse fuerit, perficiant. Etiam "mihi videtur, iis, qui è vobis hìc degunt, et quibus ego negotia impono, "dum ad obeunda quædam munera ad istas nationes eos mitto, istic et "agros et ædes adsignandas esse; ut et tributum huc illis adferatur, et cùm "eò venerint, suas in ædes possint divertere." Hæc cùm dixisset, multis ex amicis in omnibus subactis urbibus donabat ædes et quos parentes haberent: atque hâc etiam tempestate posteri eorum, qui tunc *illa* consequuti sunt, in agrorum, quorum alii aliâ in regione siti sunt, possessione permanent; ipsi verò apud regem habitant. "De satrapis autem, inquit, ad re"giones illas mittendis, ut ejusmodi sint vobis videndum est, qui memine"rint huc etiam mittendum esse quidquid in quovis solo pulchri bonive "fuerit: ut etiam nos qui hìc manemus *omnium* bonorum, quæ ubique pro"veniunt, participes simus: nam si quid uspiam rei terribilis existat, *id* no"bis propulsandum erit." Hæc loquutus, finem tunc dicendi fecit: ac deinde, quos ex amicis animadverteret eundi cupidos, secundùm conditiones propositas; habito delectu, eos, qui maximè viderentur idonei, satra-

τοὺς δοκοῦντας ἐπιτηδειοτάτους εἶναι, ἔπεμπε σατράπας, εἰς Ἀραβίαν μὲν, [a] Μεγάζυβον· εἰς Καππαδοκίαν δὲ, Ἀρταβάταν· εἰς Φρυγίαν δὲ τὴν μεγάλην, Ἀρτακάμαν· εἰς [b] Λυκίαν δὲ καὶ Ἰωνίαν, Χρυσάνταν· εἰς Καρίαν δὲ, Ἀδούσιον, ὥσπερ ᾔτουν· εἰς Φρυγίαν δὲ τὴν παρ' Ἑλλήσποντον, καὶ Αἰολίδα, Φαρνοῦχον. Κιλικίας δὲ καὶ Κύπρου καὶ Παφλαγόνων οὐκ ἔπεμψε Πέρσας σατράπας, ὅτι ἑκόντες ἐδόκουν αὐτῷ συστρατεύεσθαι ἐπὶ Βαβυλῶνα· δασμοὺς μέντοι συνέταξεν ἀποφέρειν καὶ τούτους. Ὡς δὲ τότε Κῦρος κατεστήσατο, οὕτως ἔτι καὶ νῦν βασιλέως εἰσὶν αἱ ἐν ταῖς ἄκραις φυλακαὶ, καὶ οἱ χιλίαρχοι τῶν φυλακῶν [c] ἐκ βασιλέως εἰσὶ καθεστηκότες, καὶ παρὰ βασιλεῖ ἀπογεγραμμένοι. Προεῖπε δὲ πᾶσι τοῖς ἐκπεμπομένοις [d] σατράπαις, ὡς δυνατὸν, ὅσα ἑώρων ποιοῦντα αὐτὸν, πάντα μιμεῖσθαι· πρῶτον μὲν ἱππέας καθιστάναι ἐκ τῶν συνεπομένων Περσῶν καὶ συμμάχων, καὶ ἁρματηλάτας· ὁπόσοι δ' ἂν γῆν καὶ ἀρχεῖα λάβωσιν, ἀναγκάζειν τούτους ἐπὶ θύρας ἰέναι, καὶ σωφροσύνης ἐπιμελουμένους, παρέχειν ἑαυτοὺς τῷ σατράπῃ χρῆσθαι, ἤν τι δέηται· παιδεύειν δὲ καὶ τοὺς γιγνομένους παῖδας ἐπὶ θύραις, ὥσπερ παρ' αὐτῷ· ἐξάγειν δὲ ἐπὶ τὴν θήραν τὸν σατράπην τοὺς ἀπὸ θυρῶν, καὶ ἀσκεῖν

pas misit, in Arabiam, Magazybum: in Cappadociam, Artabatam: in Phrygiam magnam, Artacamam: in Lyciam atque Ioniam, Chrysantam: in Cariam, Adusium, ut *ipsi* petierant: in Phrygiam, quæ propter Hellespontum sita est, et Æolidem, Pharnuchum. Ciliciæ verò, et Cypro, et Paphlagonibus satrapas Persicos nullos misit, quòd ultro visi essent adversùs Babylonem ejus signa sequuti: sed tamen his etiam tributa indixit adferenda. Ut autem Cyrus id temporis constituit, sic etiam nunc arcium præsidia regis *in potestate* sunt, et præsidiariorum tribuni à rege constituuntur, et apud regem descripti *census eorum* exstant. Prætereà satrapis omnibus, quos emittebat, edixit, ut omnia, quæcunque se facere viderent, pro viribus imitarentur: primùm equites et curruum agitatores ex illis Persis ac sociis qui comitarentur ipsos, instituerent: quicunque verò et agros et palatia consequuti essent, eos ad frequentandam portam cogerent, atque temperantiæ studiosi, satrapæ semet utendos exhiberent, si quid usus posceret: etiam liberos, qui *eis* nascerentur, ad portam educarent *et instituerent*, quemadmodùm apud ipsum fieret: itidem satrapam, quos haberet ad por-

a Μεγάζυβον.] Edit. *Elzev.* Μεγάβυζον. nec aliter veteros quidam legerunt interpretes. Sed hoc monuisse sat est.

b Λυκίαν] Legitur etiam Λυδίαν. Supra quoque p. 373. pro Λύκιοι in quibusdam libris scribitur Λυδοί. Lectionem vulgatam utrobique retinendam puto

c Ἐκ βασιλέως, &c.] Eadem est præpositionis istius vis apud *Joh.* vi. 65.

d Σατράπαις, ὡς δυνατὸν ὅσα, &c.] Sic reposuimus ex conjecturâ *Leunclavii*; cui nonnihil favet *Gabrielii* vet. exempl. ὅσα ἑώρων exhibentis auctoritas. Legebatur anteà ———— σατράπαις ὅσα δυνατὸν ἑώρων ποιοῦντα, &c.

αὐτόν τε καὶ τοὺς σὺν ἑαυτῷ τὰ πολεμικά. "Ὃς δ' ἂν ἐμοὶ,
"ἔφη, κατὰ λόγον τῆς δυνάμεως πλεῖςα μὲν ἅρματα, πλείςους
"δὲ καὶ ἀρίςους ἱππέας ἀποδεικνύῃ, τοῦτον ἐγὼ, ὡς ἀγαθὸν σύμ-
"μαχον καὶ ὡς ἀγαθὸν συμφύλακα Πέρσαις τε καὶ ἐμοὶ τῆς
"ἀρχῆς, τιμήσω. Ἔστωσαν δὲ παρ' ὑμῖν καὶ [a] ἕδραις, ὥσπερ
"παρ' ἐμοὶ, οἱ ἄριςοι προτετιμημένοι· καὶ τράπεζα, ὥσπερ ἡ
"ἐμὴ, τρέφουσα μὲν πρῶτον τοὺς οἰκέτας, ἔπειτα δὲ, καὶ ὡς φί-
"λοις μεταδιδόναι, ἱκανῶς κεκοσμημένη· καὶ ὡς τὸν καλόν τι
"ποιοῦντα καθ' ἡμέραν ἐπιγεραίρειν. Κτᾶσθε δὲ καὶ παρα-
"δείσους, καὶ θηρία τρέφετε, καὶ μήτε αὐτοί ποτε ἄνευ πόνου
"σῖτον παράθεσθε, μήτε ἵπποις ἀγυμνάστοις χόρτον ἐμβάλ-
"λετε· οὐ γὰρ ἂν δυναίμην ἐγὼ εἷς ὢν ἀνθρωπίνῃ ἀρετῇ τὰ πάν-
"των ὑμῶν ἀγαθὰ διασώζειν, ἀλλὰ δεῖ ἐμὲ μὲν ἀγαθὸν ὄντα
"σὺν ἀγαθοῖς τοῖς παρ' ἐμοῦ ὑμῖν ἐπίκουρον εἶναι· ὑμᾶς δὲ ὁμοίως
"αὐτοὺς, ἀγαθοὺς ὄντας, σὺν ἀγαθοῖς τοῖς μεθ' ὑμῶν ἐμοὶ συμ-
"μάχους εἶναι. Βουλοίμην δ' ἂν ὑμᾶς καὶ τοῦτο κατανοῆσαι,
"ὅτι τούτων ὧν νῦν ὑμῖν παρακελεύομαι, οὐδὲν τοῖς δούλοις προς-
"τάττω· ἃ δ' ὑμᾶς φημὶ χρῆναι ποιεῖν, ταῦτα καὶ αὐτὸς πει-
"ρῶμαι πάντα πράττειν. Ὥσπερ δ' ἐγὼ ὑμᾶς κελεύω ἐμὲ
"μιμεῖσθαι, οὕτω καὶ ὑμεῖς τοὺς ὑφ' ὑμῶν ἀρχὰς ἔχοντας μι-
"μεῖσθαι ὑμᾶς διδάσκετε."

tam, venatum educere debere, ac tum se tum suos ad res bellicas exercere.
"Qui autem mihi, ait, pro ratione potestatis *suæ* currus plurimos, plurimos
"etiam præstantissimósque equites effecerit, hunc ego, tanquam egregium bel-
"li socium, et tanquam præclarum custodiæ imperii tum Persici tum mei ad-
"jutorem, honoribus ornabo. Sint apud vos etiam sessionibus, perinde at-
"que apud me, viri præstantissimi præ cæteris honorati: *sit* et mensa, quæ
"sicut *et* mea, primùm domesticos alat; deinde, sat benè instructa *sit* tum
"ad impertiendum amicis; tum ad honorum illi exhibendum, qui singulos
"in dies aliquid præclarè geret. Etiam septa vobis hortorum sunto, ac
"feras alite, nec ipsi unquam labore nullo præcedente cibum *vobis* adpo-
"nite, neque pabulum equis nōn exercitis objicite: non enim fieri poterit,
"ut unus ego virtute humanâ vestrûm omnia bona tuear; sed necesse est
"ut ipse, strenuum me præbendo, cum viris fortibus à me *mittendis*, vobis
"auxilio sim; ac vos itidem viros esse fortes *oportet*, et cum vestris, qui
"et ipsi fortes sint belli mihi socios *et adjutores* esse. Velim hoc etiam
"consideretis, nihil me horum, ad quæ jam vos cohortor, servis imperare:
"et quæ vobis facienda esse aio, hæc ipsemet exsequi omnia studeo. Deni-
"que ut vos ego me imitari jubeo, sic etiam vos illos, qui vestro sub imperio
"magistratus habent, ad vos imitandos instituite."

a Ἕδραις] Sic corrigendum ex iis quæ paulò infra leguntur, p. 517. πάντες δὲ οἱ ἄριςοι τῶν παρόντων ἕδραις προτετίμηνται. Vulgò scribitur ἕδραι. *Camerarii* liber hanc offert lectionem: ἔςων δὲ παρ' ὑμῖν καὶ ἕδραι, ὥσπερ παρ' ἐμοὶ προτετιμημένοις cui receptam nemo non, opinor, anteferendam videt.

Ταῦτα δὲ Κύρου οὕτω τότε τάξαντος, ἔτι καὶ νῦν τῷ αὐτῷ τρόπῳ πᾶσαι μὲν αἱ ὑπὸ βασιλεῖ φυλακαὶ ὁμοίως φυλάττονται, πᾶσαι δὲ αἱ τῶν ἀρχόντων θύραι ὁμοίως θεραπεύονται, πάντες δὲ οἱ οἶκοι καὶ μεγάλοι καὶ μικροὶ ὁμοίως οἰκοῦνται· πάντες δὲ οἱ ἄριστοι τῶν παρόντων ἕδραις προτετίμηνται, πᾶσαι δὲ αἱ πορεῖαι συντεταγμέναι κατὰ τὸν αὐτὸν τρόπον εἰσὶ, πᾶσι δὲ συγκεφαλαιοῦνται πολλαὶ πράξεις ὀλίγοις ἐπιστάταις. Ταῦτα δ' εἰπὼν ὡς χρὴ ποιεῖν ἑκάστους, καὶ δύναμιν ἑκάστῳ προσθεὶς, ἐξέπεμπε, καὶ προεῖπεν ἅπασι παρασκευάζεσθαι ὡς εἰς νέωτα στρατείας ἐσομένης, καὶ ἀποδείξεως ἀνδρῶν καὶ ὅπλων καὶ ἵππων καὶ ἁρμάτων. Κατενοήσαμεν δὲ καὶ τοῦτο ὅτι Κύρου κατάρξαντος, ὥς φασι, καὶ νῦν ἔτι διαμένει· ἐφοδεύει γὰρ ἀνὴρ κατ' ἐνιαυτὸν ἀεὶ στράτευμα ἔχων ὃς, ἤν μέν τις τῶν σατραπῶν ἐπικουρίας δέηται, ἐπικουρεῖ· ἢν δέ τις ὑβρίζῃ, σωφρονίζει· ἢν δέ τις ἢ δασμῶν φορᾶς ἀμελῇ, ἢ τῶν ἐνοίκων φυλακῆς, ἢ ὅπως ἡ χώρα ἐνεργὸς ᾖ, ἢ ἄλλο τι τῶν τεταγμένων παραλίπῃ, ταῦτα πάντα κατευτρεπίζει· ἢν δὲ μὴ δύνηται, βασιλεῖ ἀπαγγέλλει· ὁ δὲ ἀκούων βουλεύεται περὶ τοῦ ἀτακτοῦντος· καὶ οἱ πολλάκις λεγόμενοι ὅτι βασιλέως υἱὸς καταβαίνει, βασιλέως ἀδελφὸς, βασιλέως ὀφθαλμὸς, καὶ ἐνίοτε οὐκ ἐκφαινόμενοι, οὗτοι τῶν ἐφόδων εἰσίν· ἀποτρέπεται γὰρ ἕκαστος αὐτῶν ὁπόθεν ἂν βασιλεὺς κελεύῃ.

Κατεμάθομεν δὲ αὐτοῦ καὶ ἄλλο μηχάνημα πρὸς τὸ μέγε-

Atque hæc utì tum Cyrus instituit, sic etiam hodiè cuncta regis imperio subjecta præsidia custodiuntur, et omnes magistratuum portæ officiocè pari ratione frequentantur, omnésque tum amplæ tum exiguæ domus simili modo administrantur: omnes ex iis, qui adsunt, præstantissimi sessionibus honoris ergo supra cæteros ornantur; omnia itinera eodem modo instituuntur, pérque paucos præfectos res multæ brevi compendio curantur. His indicatis, quemadmodùm se gerere singuli deberent, ac manu militum cuique datâ, sic *eos* dimisit, ut prædiceret universis, pararent sese, quòd suscipienda in annum proximum esset expeditio, et lustrândi milites, arma, equi, currus. Hoc etiam ab auctore Cyro profectum, ut aiunt, nunc quoque servari animadvertimus: obit quispiam *satrapias ditionis Persicæ* cum exercitu singulis annis: qui, si satraparum aliquis indiget auxilio, fert *ei* auxilium; si quis insolenter se gerit, *eum* sanam ad mentem revocat: quòd si quis vel tributa conferenda, vel incolas custodiendos, vel agrum colendum minùs diligenter curat, vel aliquid aliud ex iis quæ sunt imperata prætermittat, hæc *ille* corrigit omnia: si verò nequeat, regi denuntiat: is ubi rem audit, de eo, qui *spreto imperio* se petulanter gerit, deliberat; ac ii sæpenumerò, de quibus dicitur, regis filius descendit, regis frater, regis oculus, licèt aliquando non conspiciantur, circitores illi sunt: nam unusquisque horum revocatur, undecunque rex jubet.

Etiam aliud quiddam excogitâsse Cyrum cognovimus, *quod* ad magnitu-

θος τῆς ἀρχῆς, ἐξ ὅ ταχέως ᾐσθάνετο καὶ τὰ πάμπολυ ἀπέχοντα ὅπως ἔχοι· Σκεψάμενος γὰρ πόσην ἂν ὁδὸν ἵππος καταιύτοι τῆς ἡμέρας ἐλαυνόμενος ὥςτε διαρκεῖν, ἐποιήσατο ἱππῶνας τοσῦτο διαλείποντας, καὶ ἵππες ἐν αὐτοῖς κατέςησε, καὶ τὲς ἐπιμελεμένες τέτων· καὶ ἄνδρα ἐφ' ἑκάςῳ τῶν τόπων ἔταξε τὸν ἐπιτήδειον παραδέχεσθαι τὰ φερόμενα γράμματα, καὶ παραδιδόναι, καὶ παραλαμβάνειν τὲς [a] ἀπειρηκότας ἵππες καὶ ἀνθρώπες, καὶ ἄλλες πέμπειν νεαλεῖς. Ἔςι δ' ὅτε ἐδὲ τὰς νύκτας φασὶν ἵςασθαι ταύτην τὴν πορείαν, ἀλλὰ τῷ ἡμερινῷ ἀγγέλῳ τὸν νυκτερινὸν διαδέχεσθαι. Τέτων δὲ ὕτω γιγνομένων, [b] φασί τινες θᾶττον τῶν γεράνων ταύτην τὴν πορείαν ἀνύτειν· [c] εἰ δὲ τῦτο ψεύδονται, ἀλλ' ὅτι γε τῶν ἀνθρωπίνων [d] πεζῇ πορειῶν αὕτη ταχίςη, τῦτο εὔδηλον. Ἀγαθὸν δὲ, [e] ὡς τάχιςα ἕκαςον αἰσθανόμενον, ὡς τάχιςα ἐπιμελεῖσθαι.

Ἐπεὶ δὲ περιῆλθεν ὁ ἐνιαυτὸς, συνήγειρε ςρατιὰν εἰς Βαβυλῶνα, καὶ λέγεται αὐτῷ γενέσθαι εἰς δώδεκα μὲν ἵππων μυριάδας, εἰς δισχίλια δὲ ἅρματα δρεπανηφόρα, πεζῶν δὲ εἰς μυριάδας ἑξήκοντα. Ἐπεὶ δὲ ταῦτα συνεσκευάσατο αὐτῷ,

dinem imperii *pertinet*, unde celeriter intelligeret, qui etiam rerum longe remotarum status esset. Cùm enim consideràsset, quantum itineris equus agitatione diurnâ conficere viribus integris posset, equorum stabuli parari curavit, quæ tantundem distarent, et in his equos constituit, cum illis qui eorum curam gererent: ordinavit et quolibet loco quendam, qui tum ad recipiendum literas adlatas, tum ad tradendum eas aliis idoneus esset; quique defatigatos equos et homines exciperet, ac alios mitteret recentes. Atque hoc in itinere nè noctu quidem interdum cessare eos dicitur, sed nuntio diurno succedere nocturnum. Quæ cùm ità fiunt, aiunt nonnulli gruum volatu celeriùs iter *istos* hujusmodi conficere: quod si verè non dicitur, saltem hoc manifestum est, omnium pedestrium itinerum, quæ homines conficiant, hoc velocissimum esse. Bonum est autem, ut quamprimùm aliquid animadvertitur, *etiam* cura quàm celerrimè adhibeatur.

Posteaquam annus præteriisset, Cyrus exercitùm Babylonem coëgit habuissèque fertur ad centum viginti equitum millia, currus falcatos bis mille, peditum millia sexcenta. Quo adparatu facto, expeditionem illam suscepit,

a Ἀπειρηκότας ἵππες ϗ ἀνθρώπες, &c.] In libris vulgatis non exstant ϗ ἀνθρώπες· quæ tamen verba fuêre in exemplaribus *Philelpho* et *Gabrielio* visis reperta; atque adeò haud cunctanter à me, adsentientibus Stephano et Leunclavio, restituta.

b Φασί τινες] Non φασί τινες, sed φασί τινας. à Leuncl. redditum, quod aptius ei visum est: mihi non item. Cæterùm de cursoribus istis vide *Herodot.* l. 8. c. 98. et *Suid.* ad v. Ἄγγαροι.

c Εἰ δὲ τοῦτο —— ἀλλά, &c.] Similiter ἀλλὰ post εἰ loco *tamen* usurpatur 2 *Corinth.* xiii. 4. et *Collos.* ii. 5.

d Πεζῇ πορειῶν] *Scilicet* ad differentiam τῶν κατὰ θάλασσαν· perinde atque πεζοὶ apud Auctores opponi solent τοῖς ναυμαχοῦσι, et πεζὴ δύναμις τῇ ναυτικῇ. Similiter *pedibus ire*, est *terrâ ire* apud *Cæsar.* B. C. l. 2. c. 23. et apud *Cicer.* in *Vatin.* c. 5. *pedibus iter conficere* et *navigare* opponuntur.

e Ὡς τάχιςα ἕκαςον] Stephanus scribendum arbitratur ἑκάςου, aut ἑκάστων, utrumlibet in neutro genere. Sed nihil muto

[a] ὥρμα δὴ ταύτην τὴν στρατείαν, ἐν ᾗ λέγεται καταστρέψασθαι πάντα τὰ ἔθνη, ὅσα [b] Συρίαν εἰσβάντι οἰκεῖ μέχρις ἐρυθρᾶς θαλάσσης. Μετὰ δὲ ταῦτα, ἡ εἰς Αἴγυπτον στρατεία λέγεται γενέσθαι, καὶ καταστρέψασθαι Αἴγυπτιον. Καὶ ἐκ τούτου τὴν ἀρχὴν ὥριζεν αὐτῷ πρὸς ἕω μὲν, ἡ ἐρυθρὰ θάλαττα· πρὸς ἄρκτον δὲ, ὁ Εὔξεινος πόντος· πρὸς ἑσπέραν δὲ, Κύπρος καὶ Αἴγυπτος· πρὸς μεσημβρίαν δὲ, Αἰθιοπία. Τούτων δὲ τὰ πέρατα τὰ μὲν διὰ θάλπος, τὰ δὲ διὰ ψύχος, τὰ δὲ διὰ ὕδωρ, τὰ δὲ δι' ἀνυδρίαν δυσοίκητα. Αὐτὸς δ' ἐν μέσῳ τούτων τὴν δίαιταν ποιησάμενος, [c] τὸν μὲν ἀμφὶ τὸν χειμῶνα χρόνον διῆγεν ἐν Βαβυλῶνι ἑπτὰ μῆνας· (αὕτη γὰρ ἀλεεινὴ ἡ χώρα) τὸν δὲ ἀμφὶ τὸ ἔαρ, τρεῖς μῆνας ἐν Σούσοις· τὴν δὲ ἀκμὴν τοῦ θέρους, δύο μῆνας ἐν Ἐκβατάνοις· οὕτω

quâ nationes universas sibi subjecisse dicitur quæ ab ingressu Syriæ ad mare rubrum usque sedes suas habent. Posteà suscepta in Ægyptum fertur expeditio, quâ Ægyptum subegerit. Atque adeò deinceps imperium Cyri terminabat ad orientem, mare rubrum; ad septentriones, pontus Euxînus; occidentem versùs, Cyprus et Ægyptus: ad meridiem, Æthiopia. Harum autem regionum extremi fines, partim ob calorem, partim propter frigus, partim propter aquam, partim ob aquæ inopiam, sunt propemodùm inhabitabiles. Ipse cùm in harum medio viveret, hyberno tempore septem menses Babylone degebat; (ista quippe regio tepida est) verno, tres menses Susis; ipsâ æstate vigente, menses duos Echatanis: quod quia faceret,

a Ὥρμα δὴ ταύτην, &c.] Ità MS. Bodl. et libri editi, quos vidi, omnes. Liber Budensis, teste Leunclavio, habet ταύτην τὴν στρατιὰν ἔχων, ἐν ᾗ λέγεται, &c. Ipse malim quidem cum Stephano retinere vulgatam lectionem, et statim post ὥρμα δὴ adjicere præpositionem εἰς, vel ἐπὶ· sic l. 1. p. 48. ὡρμᾶτο ἐπὶ τὴν στρατείαν. Quod omninò faciendum; nisi cuiquam visum fuerit ὁρμᾶν transitivè sumere.

b Συρίαν εἰσβάντι] Ex eodem libro Budensi Leunclavius etiam adfert probátque Συρίαν ἐκβάντι· cui vulgata tamen scriptura mihi neutiquam postponenda videtur. Verba enim de eo possint intelligi, qui ingressus Syriam, ultra eam ad mare usque rubrum pergat.

c Τὸν μὲν ἀμφὶ τὸν, &c.] Quod Cyri institutum reliqui deinceps Persarum reges ferè secuti sunt. Noster ἀναβ. γ´. sub finem: ἡ δὲ πρὸς ἕω, ἐπὶ Σοῦσά τε ϗ Ἐκβάτανα φέροι, ἔνθα θερίζειν ϗ ἐαρίζειν λέγεται βασιλεύς. *Plutarch.* de *exil.* p. 604. Καίτοι τούςγε Περσῶν βασιλέας ἐμακάριζον, ἐν Βαβυλῶνι τὸν χειμῶνα διάγοντας· ἐν δὲ Μηδίᾳ, (*Ecbatanis* nempe) τὸ θέρος· ἐν δὲ Σούσοις, τὸ ἥδιστον τοῦ ἔαρος. Apud eundem, Diogenes etiam suas Athenis Corinthum, et Corintho Thebas migrationes instituto illi adsimilâsse dicitur, de *profect. virt.* p. 78. παρέβαλε ταῖς βασιλέως, ἔαρος μὲν ἐν Σούσοις, ϗ χειμῶνος ἐν Βαβυλῶνι, θέρους δ' ἐν Μηδίᾳ διατριβαῖς. Hinc apud *Aristidem*, *Romæ encom.* p. [illegible]3. T. 1. Edit. *Oxon.* μεταναστῦσαι τινὲς βασιλεῖς,——καὶ πλάνητες. *Ælianus* quidem de *Animal.* l. 10. c. 6. de Persarum rege loquitur tanquam θερίζοντος μὲν ἐν Σούσοις, χειμάζοντος δὲ ἐν Ἐκβατάνοις. At locum esse corruptum, legendúmque ibi commutatis verbis, θερίζοντα μὲν ἐν Ἐκβατάνοις, χειμάζοντα δὲ ἐν Σούσοις, animadvertit post doctiss. *Brissonium* Illustris. *Ezek. Spanhemius* Observ. ad *Juli.* orat. 1. p. 126. Miror. autem neque hunc neque illum apud *Strabonem* idem ferè dici, atque id quod ex *Æliano* adtulerunt, animadvertisse: Is enim lib. 11. p. 795. sic scribit, ϗ ἦν τὰ Ἐκβάτανα χειμάδιον τοῖς Πέρσαις. mox, ϗ νῦν ἔτι τοῖς Παρθυαίων βασιλεῦσι τὴν αὐτὴν παρέχεται χρείαν τε, ϗ ἀσφάλειαν. Idem tamen lib. 16. pag. 1079. tradit, *Ecbatana* regibus Parthorum æstiva agentibus sedem esse. Confer, si libet, *Dion. Chrysost.* orat. 6. p. 86. *Athen.* l. 12. c. 1. p. 513.

δὲ ποιοῦντ' αὐτὸν λέγουσιν ἐν ἐαρινῷ θάλπει καὶ ψύχει διάγειν ἀεί. Οὕτω δὲ διέκειντο πρὸς αὐτὸν οἱ ἄνθρωποι, ὡς πᾶν μὲν ἔθνος μειονεκτεῖν ἐδόκει, εἰ μὴ Κύρῳ πέμψειεν ὅ,τι καλὸν αὐτοῖς ἐν τῇ χώρᾳ ἢ φύοιτο, ἢ τρέφοιτο, ἢ τεχνῷτο· πᾶσα δὲ πόλις ὡσαύτως· πᾶς δὲ ἰδιώτης πλούσιος ἂν ᾤετο γενέσθαι, εἴ τι Κύρῳ χαρίσαιτο· καὶ γὰρ ὁ Κῦρος λαμβάνων παρ' ἑκάστων ὧν ἀφθονίαν εἶχον οἱ διδόντες, ἀντεδίδου ὧν σπανίζοντας αὐτοὺς αἰσθάνοιτο.

Οὕτω δὲ τοῦ αἰῶνος προκεχωρηκότος, μάλα δὴ πρεσβύτης ὢν ὁ Κῦρος ἀφικνεῖται εἰς Πέρσας [a] τὸ ἕβδομον ἐπὶ τῆς αὐτοῦ ἀρχῆς. Καὶ ὁ μὲν πατὴρ καὶ ἡ μήτηρ πάλαι δή, ὥσπερ εἰκός, ἐτετελευτήκεσαν αὐτῷ· ὁ δὲ Κῦρος ἔθυσε τὰ νομιζόμενα ἱερά, καὶ τοῦ χοροῦ ἡγήσατο Πέρσαις κατὰ τὰ πάτρια, καὶ τὰ δῶρα πᾶσι διέδωκεν, ὥσπερ εἰώθει. Κοιμηθεὶς δ' ἐν τῷ βασιλείῳ, ὄναρ εἶδε τοιόνδε· ἔδοξεν αὐτῷ προσελθὼν [b] κρείττων τις ἢ κατὰ

semper in calore frigoréque verno vitam egisse dicitur. Erat autem ea hominum erga ipsum adfectio, ut natio quævis deteriore videretur esse conditione, si non Cyro mitteret quidquid ipsis egregium in regione *suâ* vel nasceretur, vel aleretur, vel arte perficeretur: itidem quævis urbs: et quivis homo privatus opulentum se arbitrabatur, si quid Cyro gratificaretur: nam Cyrus à singulis accipiens ea, quorum copiam illi, qui dabant, haberent; vicissim eis largiebatur ea, quorum ipsos inopes esse animadverteret.

Posteaquam hoc modo ætate provectiori Cyrus esse cœpisset, admodùm senex vice jam septimâ, ex quo imperium adeptus erat, in Persiam venit. Quo tempore tum pater tum mater *ipsius* jamdudum, ceu credi par est, è vivis excesserant: *hic* Cyrus sacrificia statuta fecit, ex instituto patrio chorum Persarum duxit, et pro more munera in omnes distribuit. Consopitus autem in regiâ, somnium hujusmodi vidit: accedere quispiam ad ipsum

a Τὸ ἕβδομον, &c.] *Gabrielius* ex vetust. exempl. adfert τὸ ἕβδομον ἤδη ἐπὶ, &c. nec malè. Veteres quidam interpretes cùm parum locum hunc acceperint, verterintque adeò τὸ ἕβδομον *anno septimo*, insignes quosdam temporum et annalium scriptores (nominatim *Torniellum* ad ann. M. 3494. *Petavium* de Doctr. Temp. lib. 10. c. 15. *Prideauxium* ad an. 530.) in errorem induxerunt. Hi enim, Nostro *Cyrop.* l. 8. auctore citato, adfirmant, Cyrum anno imperii sui septimo occubuisse. At certè Xenophontem à *Petavio* saltem attentiùs lectum esse oportuit, priusquàm ad auctoritatem ejus in Historiâ fidemque imminuendam fuerat adgressus. Τὸ ἕβδομον Græcis idem est quod Latinis *septimùm*: similiter τὸ τρίτον, τὸ τέταρτον, τὸ πέμπτον sonant *tertiùm*, *quartùm*, *quintùm*. Quare docti illi viri perperam ex hoc loco (neque enim alium, opinor, ullum ad sententiam suam trahere potuerunt) Xenophontem septem annos *Babylonici* regni Cyro tribuisse, collegerunt. Hâc de re plura forsan alibi.

b Κρείττων] Præter vulgarem significationem, *Deum* etiam notat, aut rem, in quâ vis inest major aliqua. *Plato* in *Sophistâ* p. 216. τάχ' ἂν οὖν καί σοί τις ἴσως τῶν κρειττόνων συνέποιτο. *Plutarch.* in *Pyrrho* p. 399. τοῦτο τοὺς βαρβάρους ἐπέσχε τοῦ πρόσω χωρεῖν, ὥς τινα τῶν κρειττόνων θαυμάσαντας. *Lucian.* in *Symp.* ed. *Amst.* p. 636. ἐδεξιοῦντο ὥς τινα τῶν κρειττόνων, *ut deorum quempiam exceperunt*: non verò ut verterat ille, *ut quempiam ex præstantioribus*, &c. *Aristid.* παναθην. T. 1. p. 96. edit. *Oxon.* ὅτι τῆς Ἑλλάδος ἐστὶν ἔρυμα ὑπὸ τῶν κρειττόνων πεποιημένον, &c. Sic Auctores alii. *Hesychius*, οἱ κρείττονες, οἱ θεοί. Cui loquendi modo lucem fœnerare videtur Xenophon, pleniori hâc usus oratione, κρείττων τις ἢ κατὰ ἄνθρωπον. De divinis ἐπιφανείαις vide quæ disseruit Cl. *Cleric.* ad *Gen.* xii. 7.

ἄνθρωπον, εἰπεῖν, συσκευάζου, ὦ Κῦρε· ἤδη γὰρ εἰς θεοὺς ἄπει. Τοῦτο δὲ ἰδὼν τὸ ὄναρ ἐξηγέρθη, καὶ σχεδὸν ἐδόκει εἰδέναι ὅτι τοῦ βίου ἡ τελευτὴ παρείη. Εὐθὺς οὖν λαβὼν ἱερεῖα, ἔθυε Διί τε πατρῴῳ καὶ Ἡλίῳ καὶ τοῖς ἄλλοις θεοῖς [a] ἐπὶ τῶν ἄκρων, ὡς Πέρσαι θύουσιν, ὧδε ἐπευχόμενος· "Ζεῦ πατρῷε καὶ Ἥλιε, καὶ "πάντες θεοὶ, δέχεσθε τάδε, καὶ τελεστήρια πολλῶν καὶ "καλῶν πράξεων, καὶ χαριστήρια, ὅτι ἐσημήνατέ μοι καὶ ἐν "ἱεροῖς καὶ ἐν οὐρανίοις [b] σημείοις καὶ ἐν οἰωνοῖς καὶ [c] ἐν φή-"μαις ἅ τ' ἐχρῆν ποιεῖν καὶ ἃ οὐκ ἐχρῆν. [d] Πολλὴ δ' ὑμῖν "χάρις ὅτι κἀγὼ ἐγίγνωσκον τὴν ὑμετέραν ἐπιμέλειαν, καὶ "οὐδεπώποτε ἐπὶ ταῖς εὐτυχίαις ὑπὲρ ἄνθρωπον ἐφρόνησα. "Αἰτοῦμαι δ' ὑμᾶς δοῦναι καὶ νῦν παισὶ μὲν καὶ γυναικὶ καὶ φίλοις "καὶ πατρίδι εὐδαιμονίαν· ἐμοὶ δὲ, οἷόνπερ αἰῶνα δεδώκατε, "τοιαύτην καὶ τελευτὴν δοῦναι." Ὁ μὲν δὴ ταῦτα ποιήσας, καὶ οἴκαδε ἐλθὼν ἔδοξεν ἡδέως ἀναπαύσεσθαι, καὶ κατεκλίθη. Ἐπεὶ δὲ ὥρα ἦν, οἱ τεταγμένοι προσιόντες λούσασθαι αὐτὸν ἐκέλευον. Ὁ δ' ἔλεγεν ὅτι ἡδέως ἀναπαύοιτο. Οἱ δ' αὖ τεταγμένοι, ἐπεὶ ὥρα ἦν, δεῖπνον παρετίθεσαν· τῷ δὲ ἡ ψυχὴ σῖτον μὲν οὐ προσίετο,

visus est, humanâ specie augustior, qui diceret, para te, Cyre: nam ad deos jam iturus es. Hoc somnio viso, excitatus est, propéque scire videbatur, vitæ *sibi* finem adesse. Quamobrem sumptis mox hostiis, Jovi patrio, et Soli, et diis cæteris in summis montium jugis, qui Persis sacrificandi mos est, rem divinam fecit, et hujusmodi usus est precatione: "Jupiter patrie, "túque Sol, ac *vos* dii universi, accipite hæc sacra, quibus et multis præ-"clarísque actionibus finem impono, et gratias vobis ago, quòd mihi tum "in sacrificiis tum signis cœlestibus, tum auguriis, tum ominibus ea signifi-"câstis, quæ vel facienda vel omittenda erant. Magnas etiam vobis gra-"tias ago, quod et ipse curam *de me* vestram agnoverim, et nunquam me "rebus prosperis supra conditionem humanam extulerim. Rogo autem vos, "ut nunc quoque liberis, uxori, amicis, patriæ felicitatem largiamini: mihi "verò *peto*, ut quale concessistis ævum, talem etiam exitum detis." His peractis, cùm domum revertisset, quieti se dare decrevit, et decubuit. Posteaquam tempus ità posceret, accedunt ii, quibus hoc erat negotii datum, atque ut lavet, hortantur. Suaviter ille se quiescere dicebat. Itidem illi, quibus id erat negotii datum, cùm tempus esset, cœnam *ipsi* adponunt: at

a Ἐπὶ τῶν ἄκρων, ὡς, &c.] Pro ὡς Πέρσαι θύουσι. Stephano placet ἐφ' ὧν Πέρσαι θύουσι. Sed nihil muto.

b Σημείοις] In MS. Bodl. et editione *Ald.* non comparet vox ista: quam tamen genuinam esse ostendit vel hic locus p. 48. Ὅτε μὲν, ὦ παῖ, θεοὶ ἵλεῴ τε καὶ εὐμενεῖς πέμπουσί σε, καὶ ἐν ἱεροῖς δῆλον καὶ ἐν οὐρανίοις σημείοις.

c Ἐν φήμαις] Vox φήμη, inquit *Eustathius* ab Il. κ'. p. 799. οὐ τὴν ἁπλῶς ἀνθρωπίνην δηλοῖ λαλιὰν, ἀλλά τινα θειοτέραν, δηλωτικὴν τοῦ μέλλοντος.

d Πολλὴ δ' ὑμῖν χάρις, &c.] Oratio rarissimi apud τοὺς ἔξω exempli; quæque Christiano digna fuerit nomine. Phrasis ista, ὑπὲρ ἄνθρωπον ἐφρόνησα, haud ità longè discedit à locutionibus Apostolicis *Rom.* xii. 3, 16. 1 *Cor.* iv. 6.

διψῆν δ' ἐδόκει, καὶ ἔπινεν ἡδέως. Ὡς δὲ καὶ τῇ ὑςεραίᾳ συνέβαινεν αὐτῷ ταῦτα καὶ τῇ τρίτῃ, ἐκάλεσε τὰς παῖδας· οἱ δ' ἔτυχον συνηκολεθηκότες αὐτῷ, καὶ ὄντες ἐν Πέρσαις. Ἐκάλεσε δὲ καὶ τὰς φίλες, καὶ τὰς Περσῶν ἀρχάς· παρόντων δὲ πάντων, ἤρχετο τοιῦδε λόγυ·

"ᵃ Παῖδες ἐμοὶ, καὶ πάντες οἱ παρόντες φίλοι, ἐμοὶ μὲν τῦ "βίυ τὸ τέλος ἤδη πάρεςιν· (ἐκ πολλῶν τῦτο σαφῶς γιγνώσκω) "ὑμᾶς δὲ χρὴ, ὅταν τελευτήσω, ὥςπερ εὐδαίμονος ἐμῦ καὶ λέ- "γειν καὶ ποιεῖν πάντα. Ἐγὼ γὰρ παῖς τε ὢν, τὰ ἐν παισὶ "νομιζόμενα καλὰ, δοκῶ κεκαρπῶσθαι· ἐπεί τε ἥϐησα, τὰ ἐν "νεανίσκοις· τέλειός τε ἀνὴρ γενόμενος, τὰ ἐν ἀνδράσι. Σὺν τῷ "χρόνῳ τε προϊόντι ἀεὶ συναυξανομένην ἐπιγιγνώσκειν ἐδόκεν "καὶ τὴν ἐμὴν δύναμιν ὥςτε καὶ τὸ μὸν γῆρας ὐδεπώποτε ᾐσθό- "μην τῆς ἐμῆς νεότητος ἀσθενέςερον γιγνόμενον, καὶ ὔτ' ἐπι- "χειρήσας ὔτ' ἐπιθυμήσας οἶδα ὅτε ἠτύχησα. Καὶ τὰς μὲν "φίλες ἐπεῖδον δι' ἐμῦ εὐδαίμονας γενομένες, τὰς δὲ πολεμί- "ους ὑπ' ἐμῦ δυλωθέντας· καὶ τὴν πατρίδα πρόσθεν ἰδιωτεύυ- "σαν ἐν τῇ Ἀσίᾳ, νῦν προτετιμημένην καταλείπω· ὧν τ' ἐκτη- "σάμην ὐδὲν οἶδα ὅ,τι ὐ διεσωσάμην. Καὶ τὸν μὲν παρελθόντα "χρόνον ἔπραττον ὔτως, ὥςπερ ηὐχόμην· φόϐος δέ μοι συμπαρο- "μαρτῶν μή τι ἐν τῷ ἐπιόντι χρόνῳ ἢ ἴδοιμι ἢ ἀκέσαιμι ἢ πά-

Cyri animus non ille quidem cibum admittebat, sed sitire videbatur, atque *adeò* cum voluptate bibit. Eadem illi cùm altero atque item tertio die accidissent, filios arcessivit; qui fortè *tunc* eum sequuti, in Persiâ degebant. Arcessivit et amicos et Persarum magistratus; qui *jam* universi cùm adessent, hujusmodi orationem exorsus est:

"Instat modò, mei filii, ac vos amici omnes qui adestis, vitæ meæ finis "(ex multis id *quidem indiciis* certò cognosco): vos autem, ubi vitam "cum morte commutavero, de me, tanquam beato, et dicere omnia et face- "re oportet. Nam et cùm puer essem, eorum, quæ in ætate puerili præ- "clara existimantur, fructum mihi consequutus esse videor: et adolescens, "eorum quæ habet adolescentia: et virilem prorsùs ad ætatem ubi perveni, "eorum quæ virilis ætas habet. Quin et progressu temporis vires meas "unà auctas animadvertere videbar: adeò ut senectutem meam adolescen- "tiâ nunquam imbecilliorem factam senserim, neque quidquam vel adgres- "sum me vel expetîsse, quod non adsequutus sim. Amicos quidem felices "per me factos vidi, hostes in servitutem à me redactos; patriam antehac "nullo in Asiâ claram imperio, nunc dignitate principem relinquo: quæ "denique sum consequutus, eorum nihil non conservâsse me scio. Et "quanquam præterito tempore nihil non ex voto mihi succederet, tamen "quia comes mihi metus erat, nè quid in futurum vel viderem, vel audirem,

a Παῖδες ἐμοὶ, ϗ, &c.] Cum gravi hâc et planè admirabili oratione Ciceronis *Catonem maj.* præsertim quæ sub finem exstant, conferre juvabit.

“ θοιμι χαλεπὸν, οὐκ εἴα τελέως μέγα φρονεῖν, οὐδ' εὐφραίνεσθαι
“ ἐκπεπταμένως. Νῦν δ' ἢν τελευτήσω, καταλείπω μὲν ὑμᾶς, ὦ
“ παῖδες, ζῶντας, ὥσπερ ἔδοσάν μοι οἱ θεοὶ γενέσθαι· καταλείπω
“ δὲ πατρίδα καὶ φίλους εὐδαιμονοῦντας· ὥστε πῶς οὐκ ἂν ἐγὼ δι-
“ καίως μακαριζόμενος τὸν ἀεὶ χρόνον μνήμης τυγχάνοιμι; Δεῖ
“ δὲ καὶ τὴν βασιλείαν με ἤδη σαφηνίσαντα καταλιπεῖν· ὡς ἂν
“ μὴ ἀμφίλογος γενομένη πράγματα ὑμῖν παράσχῃ. Ἐγὼ δὲ
“ νῦν φιλῶ μὲν ἀμφοτέρους ὑμᾶς ὁμοίως, ὦ παῖδες· τὸ δὲ προ-
“ βουλεύειν καὶ προηγεῖσθαι ἐφ' ὅ,τι ἂν καιρὸς δοκῇ εἶναι, τοῦτο
“ προστάττω τῷ προτέρῳ γενομένῳ, καὶ πλειόνων κατὰ τὸ εἰκὸς
“ ἐμπείρῳ. Ἐπαιδεύθην δὲ καὶ αὐτὸς οὕτως ὑπὸ τῆσδε τῆς ἐμῆς
“ τε καὶ ὑμετέρας πατρίδος, τοῖς πρεσβυτέροις, οὐ μόνον ἀδελ-
“ φοῖς, ἀλλὰ καὶ πολίταις, καὶ ὁδῶν καὶ θάκων καὶ λόγων
“ ὑπείκειν· καὶ ὑμᾶς δὲ, ὦ παῖδες, οὕτως ἐξ ἀρχῆς ἐπαίδευον,
“ τοὺς μὲν γεραιτέρους προτιμᾶν, τῶν δὲ νεωτέρων προτετιμῆσθαι·
“ ὡς οὖν παλαιὰ καὶ εἰθισμένα καὶ ἔννομα λέγοντος ἐμοῦ, οὕτως
“ ἀποδέχεσθε. Καὶ σὺ μὲν, ὦ Καμβύση, τὴν βασιλείαν ἔχε,
“ θεῶν τε διδόντων καὶ ἐμοῦ, ὅσον ἐν ἐμοί· σοὶ δὲ, ὦ Tαναοξάρη,
“ σατράπην εἶναι δίδωμι Μήδων τε καὶ Ἀρμενίων, [a] καὶ τρί-
“ των Καδουσίων· ταῦτα δέ σοι διδοὺς, νομίζω ἀρχὴν μὲν μείζω

“ vel paterer rei gravis, non is mihi concessit, ut prorsùs elato animo essem,
“ vel effusè lætarer. Nunc si moriar, vos quidem, filii, quos mihi dii nasci
“ voluêre, superstites relinquo: et patriam et amicos itidem relinquo fortu-
“ natos: quî possit itaque fieri, ut ego non meritò sempiternâ hominum
“ beatum me prædicantium memoriâ celebrer? Est autem mihi jam hoc
“ quoque declarandum, cui regnum relinquam; nè *id* in ambiguo relictum
“ negotia vobis facessat. Complector equidem, filii, pari utrumque vestrûm
“ benevolentiâ: verùm et consilio providere et ducis officio fungi, quacun-
“ que in re tempus *et usus* postulet, eum jubeo, qui natu major est, et usum
“ rerum plurium, prout consentaneum, est, habet. Quin et ipse utì ab hâc
“ meâ vestrâque patriâ sum institutus, natu majoribus, non modò fratribus,
“ sed civibus etiam, de viâ, sedibus, dicendi loco cedendum esse; sic vos
“ quoque, filii, ab initio institui, ut natu majoribus honorem principem defe-
“ ratis, et vicissim minoribus honore ante eatis; quamobrem ità, quæ à me
“ dicuntur, accipite, ut qui tum prisca tum moribus recepta atque etiam le-
“ gibus consentanea proferam. Ac tuum quidem, Cambyses, regnum esto,
“ diis *illud* ac me tibi largientibus, quantum *quidem* in me est: tibi verò,
“ Tanaoxares, *hoc* tribuo, ut Medorum, et Armeniorum, et tertio loco Ca-
“ dusiorum satrapa sis: quæ tibi cùm largior, majus quidem imperium et

a Καὶ τρίτων Καδουσίων] MS. Bodl. τρίτον. Si quid mutationis inducendum sit, mallem τρίτως. Filio huic Cyri natu minori apud *Ctesiam* nomen est Τανυοξάρκης: quem, eodem auctore, Cyrus ἐπίστησι δεσπότην Βακτρίων καὶ τῆς χώρας, καὶ Χοραμνίων, καὶ Παρθίων, καὶ Καρμανίων. Sed hic quæ narrare solet, vix capiunt fidem.

"καὶ τοὔνομα τῆς βασιλείας τῷ πρεσβυτέρῳ καταλιπεῖν, εὐδαι-
"μονίαν δέ σοι ἀλυποτέραν. Ὁποίας μὲν γὰρ ἀνθρωπίνης εὐ-
"φροσύνης ἐπιδεὴς ἔσῃ οὐχ ὁρῶ· ἀλλὰ πάντα σοι τὰ δοκοῦντα
"ἀνθρώπους εὐφραίνειν παρέσται. Τὸ δὲ δυσκαταπρακτοτέρων
"ἐρᾷν, καὶ τὸ πολλὰ μεριμνᾷν, καὶ τὸ μὴ δύνασθαι ἡσυχίαν
"ἔχειν, κεντριζόμενον ὑπὸ τῆς πρὸς τἀμὰ ἔργα φιλονεικίας, καὶ
"τὸ ἐπιβουλεύειν καὶ τὸ ἐπιβουλεύεσθαι, ταῦτα τῷ βασιλεύοντι
"ἀνάγκη σοῦ μᾶλλον συμπαρομαρτεῖν· ἃ, σάφ' ἴσθι, [a] τῷ εὐ-
"φραίνεσθαι πολλὰς ἀσχολίας παρέχει. [b] Οἶσθα μὲν οὖν καὶ
"σὺ, ὦ Καμβύση, ὅτι οὐ τόδε τὸ χρυσοῦν σκῆπτρον τὸ τὴν βασι-
"λείαν διασῶζόν ἐστιν, ἀλλ' οἱ πιστοὶ φίλοι σκῆπτρον βασιλεῦ-
"σιν ἀληθέστατον καὶ ἀσφαλέστατον. Πιστοὺς δὲ μὴ νόμιζε [c] φύ-
"σει φύεσθαι ἀνθρώπους· (πᾶσι γὰρ ἂν οἱ αὐτοὶ πιστοὶ φαίνοιντο,
"ὥσπερ καὶ τἄλλα τὰ πεφυκότα πᾶσι τὰ αὐτὰ [d] φαίνεται)

"regni nomen natu majori me relinquere arbitror; tibi verò felicitatem
"magis omnis expertem molestiæ. Nam quâ delectatione humanâ caritu-
"rus sis, *equidem* non video; certè omnia quæ hominibus adferre volupta-
"tem videntur, tibi sunt adfutura. Amorem verò illorum, quæ confectu
"difficilia sunt, et multarum rerum solicitam occupationem, et vitæ alienam
"à quiete rationem, pungente animum æmulatione rerum à me gestarum,
"et insidiarum molitionem, earundémque structarum ab aliis metum; hæc,
"*inquam*, necesse est illum, qui regno potietur, magìs quàm te, comitari:
"quæ, sat scito, multa objiciunt impedimenta, quo minùs animo læto quis
"esse possit. Et tu quidem certè nôsti, Cambyses, non aureum hoc scep-
"trum esse, quod regnum tibi conservet, sed amici fidi regibus et verissi-
"mum et tutissimum sceptrum sunt. Fidos verò nè putes homines nasci;
"(quòd *ità* iidem omnibus fidi conspicerentur, sicut et cætera, quæ naturâ
"insita sunt, conspiciuntur esse omnibus eadem) sed fidi qui sint, eos sibi-

a Τῷ εὐφραίνεσθαι] Verba hæc in edit. *Ald.* non exstant: omnino tamen retinenda videntur, cum præcesserit ἀλλὰ πάντα σοι τὰ δοκοῦντα ἀνθρώποις εὐφραίνειν παρέσται.

b Οἶσθα μὲν οὖν, &c.] Gabrielius et Leunclavius marginalem hanc lectionem sequuntur Ἴσθι μὲν οὖν, &c. quæ quidem satis apta est: sed, libris omnibus reclamantibus, in contextum non recipienda. Libet autem adducere *Micipsæ* Sallustiani verba; ut videat lector, illam *Crispi* orationem, quam divinam vocat *Ælius Spartianus*, sententiarum gravitati, ex Xenophonte sumptarum, omnem ferè, quam habet, laudem debere. *Nunc, quoniam mihi natura finem vitæ facit, per hanc dextram, per regni fidem moneo, obtestórque, uti hos, qui tibi genere propinqui, beneficio meo fratres sunt, caros habeas: neu malis alienos adjungere, quàm sanguine conjunctos retinere. Non exercitus, neque thesauri, præsidia regni sunt, verùm amici, quos neque armis cogere, neque auro parare queas: officio et fide pariuntur. Quis autem amicior, quàm frater fratri? aut quem alienum fidum invenies, si tuis hostis fueris*, &c. Bell. Jugurth. cap. 10.

c Φύσει φύεσθαι] MS. Bodl. φύσει in margine tantùm agnoscit, editi libri in contextu exhibent. Suspectam locutionem hanc habet Stephanus; cui tamen similem in *Philem.* Reliq. ex incert. Comœd. videre est:

Μείζω τὰ κακὰ ποιοῦσι πολλοὶ, δέσποτα,
Αὐτοὶ δι' αὑτοὺς, ἢ πέφυκε τῇ φύσει.

v. 198. et seq.

Quin et eadem hæc phrasis apud Xenophontem supra invenitur lib. 5. p. 265. ubi vox utraque in contextu MSti Bodl. comparet.

d Φαίνεται] Ità scribendum curavimus.

"ἀλλὰ τοὺς πιστοὺς τίθεσθαι δεῖ ἕκαστον ἑαυτῷ· ἡ δὲ κτῆσις αὐ-
"τῶν ἐστιν οὐδαμῶς σὺν τῇ βίᾳ, ἀλλὰ μᾶλλον σὺν τῇ εὐεργεσίᾳ.
"Εἰ οὖν καὶ ἄλλους τινὰς πειράσῃ συμφύλακας τῆς βασιλείας
"ποιεῖσθαι, μηδαμόθεν πρότερον ἄρχου ἢ ἀπὸ τοῦ ὁμόθεν γενο-
"μένου. Καὶ πολῖταί τοι ἄνθρωποι ἀλλοδαπῶν οἰκειότεροι,
"καὶ σύσσιτοι ἀποσκήνων· ᵃοἱ δὲ ἀπὸ τοῦ αὐτοῦ σπέρματος φύν-
"τες, καὶ ὑπὸ τῆς αὐτῆς μητρὸς τραφέντες, καὶ ἐν τῇ αὐτῇ οἰ-
"κίᾳ αὐξηθέντες, καὶ ὑπὸ τῶν αὐτῶν γονέων ἀγαπώμενοι, καὶ
"τὴν αὐτὴν μητέρα καὶ τὸν αὐτὸν πατέρα προσαγορεύοντες,
"πῶς οὐ πάντων οὗτοι οἰκειότατοι; Μὴ οὖν ἃ οἱ θεοὶ ὑφήγηνται
"ἀγαθὰ εἰς οἰκειότητα ἀδελφοῖς, μάταιά ποτε ποιήσητε, ἀλλ'
"ἐπὶ ταῦτα εὐθὺς οἰκοδομεῖτε ἄλλα φιλικὰ ἔργα· καὶ οὕτως
"ἀεὶ ἀνυπέρβλητος ᵇἄλλοις ἔσται ἡ ὑμετέρα φιλία. Ἑαυτοῦ
"τοι κήδεται ὁ προνοῶν ἀδελφοῦ· τίνι γὰρ ἄλλῳ ἀδελφὸς μέ-
"γας ὢν οὕτω καλὸν, ὡς ἀδελφῷ; τίς δ' ἄλλος τιμήσεται δὴ
"ἄνδρα μέγα δυνάμενον οὕτως, ὡς ἀδελφός; τίνα δὲ φοβήσεταί
"τις ἀδικεῖν, ἀδελφοῦ μεγάλου ὄντος, οὕτως ὡς τὸν ἀδελφόν·
"Μήτε οὖν θᾶττον μηδείς σου τούτῳ ὑπακουέτω, μήτε προθυμότε-
"ρον παρέστω· οὐδενὶ γὰρ οἰκειότερα τὰ τούτου οὔτε ἀγαθὰ, οὔτε δει-

"quemque efficere oportet: parantur autem non vi, sed potiùs beneficentiâ.
"Quamobrem si voles et alios quosdam tibi regni custodiendi socios adjun-
"gere, nequaqam priùs aliunde initium facito, quàm ab eo, qui loco tecum
"eodem ortus est. Nam et cives magìs quàm exteri nobis sunt conjuncti,
"et contubernales quàm ii, qui nobiscum eodem in contubernio non vivunt:
"at verò qui eodem semine prognati, ab eâdem nutriti matre, in eâdem do-
"mo creverunt, et ab iisdem parentibus diliguntur, eandémque matrem et
"eundem patrem adpellant, quî fieri possit ut non sint omnium conjunctis-
"simi? Nè igitur ea bona, per quæ dii fratres ad conjunctionem deducunt,
"frustrà vobis esse concessa patiamini; sed super hæc *ipsa* statim studia
"*quædam* alia benevolentiæ *et amoris* exstruite; quo fiet, ut amicitia ves-
"tra semper invicta sit. Nimirum sui ipsius curam gerit, qui fratri pros-
"picit: nam cui frater magnus adeò est ornamento, ut fratri? quis homi-
"nem præpotentem honore tanto prosequetur, quanto frater? quemnam ali-
"quis adeò, ut fratrem, si frater sit magnus, injuriâ adficere formidet?
"Quamobrem nemo te celeriùs huic obediat, nemo alacriùs *ad ipsum* ve-
"niat: quippe nec secundæ nec adversæ *tristésque* res hujus ad quenquam

Leunclavium, adsentiente *Mureto*, sequuti. Priùs legebatur φαίνεσθαι· quod ferri non potest; nisi tandem aliquod inveniatur exemplar, quod εἴωθε, vel δρῶμεν, aut tale quid cum cæteris verbis parenthesi includat. Ibidem, non τοὺς πιστοὺς, sed τοὺς μὲν πιστοὺς legit *Stobæus*: cui particulæ respondeat δὲ quæ est ante κτῆσις. Illam tamen voculam μὲν post τίθεσθαι, quàm post τοὺς rectiùs, judice Stephano, posueris.

a Οἱ δὲ ἀπὸ τοῦ, &c.] Lege quæ cum *Chærecrate* disserit *Socrates* Memor. l. 2. p. 433.

b Ἄλλοις] MS. Bodl. et edit *Ald.* ἀλλήλοις· cui receptam scripturam omnino prætulerim.

" να, ἢ σοί. Ἐννόει δὲ καὶ τάδε, τίνι χαρισάμενος ἐλπίσαις
" ἂν μειζόνων τυχεῖν ἢ τούτῳ; τίνι δ' ἂν βοηθήσας ἰσχυρότερον
" σύμμαχον ἀντιλάβοις; τίνα δ' αἴσχιον μὴ φιλεῖν ἢ τὸν ἀδελ-
" φόν; τίνα δὲ ἁπάντων κάλλιον προτιμᾷν ἢ τὸν ἀδελφόν;
" Μόνου τοι, ὦ Καμβύση, πρώτου ὄντος ἀδελφοῦ παρ' ἀδελφῷ,
" οὐδὲ φθόνος παρὰ τῶν ἄλλων [a] ἐφικνεῖται. Ἀλλὰ πρὸς θεῶν
" πατρῴων, παῖδες, τιμᾶτε ἀλλήλους, εἴ τι καὶ τοῦ ἐμοὶ χαρίζεσ-
" θαι μέλει ὑμῖν· [b] οὐ γὰρ δήπου τοῦτό γε σαφῶς δοκεῖτε εἰδέναι,
" ὡς οὐδὲν ἔσομαι ἐγὼ ἔτι ἐπειδὰν τοῦ ἀνθρωπίνου βίου τελευτήσω·
" οὐδὲ γὰρ νῦν τοι τήν γ' ἐμὴν ψυχὴν ἑωρᾶτε, ἀλλ' οἷς διεπράτ-
" τετο, τούτοις αὐτὴν ὡς οὖσαν κατεφωρᾶτε. Τὰς δὲ τῶν ἄδικα
" παθόντων ψυχὰς οὔπω κατενοήσατε οἵους μὲν φόβους τοῖς μιαι-
" φόνοις ἐμβάλλουσιν; οἵους δὲ παλαμναίους τοῖς ἀνοσίοις ἐπι-
" πέμπουσι; Τοῖς δὲ φθιμένοις τὰς τιμὰς διαμένειν ἔτι ἂν δο-
" κεῖτε, εἰ μηδενὸς αὐτῶν αἱ ψυχαὶ κύριαι ἦσαν; Οὔτοι ἔγωγε,
" ὦ παῖδες, οὐδὲ τοῦτο πώποτε ἐπείσθην, ὡς ἡ ψυχή, ἕως μὲν ἂν
" ἐν θνητῷ σώματι ᾖ, ζῇ· ὅταν δὲ τούτου ἀπαλλαγῇ, τέθνηκεν.
" Ὁρῶ γὰρ ὅτι καὶ τὰ θνητὰ σώματα ὅσον ἂν ἐν αὐτοῖς χρό-
" νον ᾖ ἡ ψυχή, ζῶντα παρέχεται. Οὐδέ γε ὅπως ἄφρων ἔσται

" magis propriè pertinent, quàm ad te. Hæc etiam consideres velim, cui-
" nam gratificando majora te consequuturum sperare debeas, quàm si grati-
" ficeris fratri? cui opem ferendo, belli socium firmiorem tibi adjunges?
" quem turpius est non amare, quàm fratrem? quemnam omnium laudabi-
" lius est observare honorando, quàm fratrem? Solus est frater, Cambyses,
" qui si apud fratrem locum principem obtineat, nequit ad eum pertingere
" aliorum invidia. Quare *vos*, filii, *obtestor* per deos patrios, prosequimini
" vosmet mutuo honore, si *quidem* vos mihi gratificandi estis studiosi: non
" enim liquidò scire vos arbitrari debetis, me, posteaquam vivendi finem
" fecero, nihil futurum: nam nè modò quidem animum meum cernebatis,
" sed esse eum deprehendebatis ex iis quæ agebat. An necdum animad-
" vertistis quos terrores illorum animi, qui *vim et* injuriam passi sunt, homi-
" cidis incutiant? quos scelerum vindices nefariis immittant? Anne per-
" mansuros fuisse putatis defunctorum honores, si nihil eorum animis juris
" *ac potestatis* reliquum esset? Equidem, filii, nequaquam persuaderi mihi
" unquam passus sum, animum, quamdiu in mortali sit corpore, vivere:
" cùm ex eo exeat, mori. Nam animum video his morti obnoxiis corpori-
" bus, quamdiu in eis degat, vitam impertiri. Nè id quidem mihi persuaderi

a Ἐφικνεῖται] Ità edit. *Eton.* et *Stobæus.* Vulgò scribitur ἀφικνεῖται; quod si retineatur, ἀδελφοῦ πρώτου ὄντος vel πρωτεύοντος, genitivus erit absolutus. Sed rectiùs, Stephano judice, ἐφικνεῖται cum genitivo ἀδελφοῦ jungatur, pro eo quod est ἅπτεσθαι.

b Οὐ γὰρ δήπου, &c.] Ab hoc loco, usque ad ἐλευθερῶται, p. 469. Cicero Xenophontem est interpretatus, *Senect.* c. 22. Sed Latina à Græcis longiùs interdum discedunt; quod non miraberis, si quàm liberè et alios Scriptorum aliorum locos sit interpretatus, consideraveris. Lege (nam tanti est) quæ apud Platonis *Phædon.* Socrates supremo vitæ die de immortalitate animorum disseruit.

"ἡ ψυχὴ, ἐπειδὰν τοῦ ἄφρονος σώματος δίχα γένηται, οὐδὲ τοῦτο "πέπεισμαι· ἀλλ' ὅταν ἄκρατος καὶ καθαρὸς ὁ νοῦς ἐκκριθῇ, "τότε καὶ φρονιμώτατον εἰκὸς αὐτὸν εἶναι. Διαλυομένου δὲ "ἀνθρώπου, δῆλά ἐστιν ἕκαστα ἀπιόντα πρὸς τὸ ὁμόφυλον, πλὴν "τῆς ψυχῆς· αὕτη δὲ μόνη οὔτε παροῦσα οὔτε ἀπιοῦσα ὁρᾶται. [a] Ἐν-"νοήσατε δὲ, ἔφη, ὅτι ἐγγύτερον μὲν τῷ ἀνθρωπίνῳ θανάτῳ οὐδέν "ἐστιν ὕπνου· ἡ δὲ τοῦ ἀνθρώπου ψυχὴ τότε δήπου θειοτάτη κατα-"φαίνεται, καὶ τότε τι τῶν μελλόντων προορᾷ· τότε γὰρ, ὡς ἔοικε, "μάλιστα ἐλευθεροῦται. [b] Εἰ μὲν οὖν οὕτως ἔχει ταῦτα, ὥσπερ ἐγὼ "οἴομαι, καὶ ἡ ψυχὴ καταλείπει τὸ σῶμα, καὶ τὴν ἐμὴν ψυ-"χὴν καταιδούμενοι ποιεῖτε ἃ ἐγὼ δέομαι· εἰ δὲ μὴ οὕτως, ἀλλὰ "μένουσα ἡ ψυχὴ ἐν τῷ σώματι συναποθνήσκει, ἀλλὰ θεούς γε "τοὺς ἀεὶ ὄντας, καὶ πάντ' ἐφορῶντας, καὶ πάντα δυναμένους, οἳ "καὶ τὴν τῶν ὅλων τήνδε τάξιν συνέχουσιν [c] ἀτριβῆ καὶ ἀγήρα-

"potuit, animum esse insipientem, posteaquam ab hoc insipiente corpore "separatur: sed cùm à *corpore* secreta est pura mens et integra, tum eam "sapientissimam esse, vero *maximè* consentaneum fuerit. Cùm dissolvitur "homo, non est obscurum, ad res sui generis singula commigrare, extra "unum animum; qui solus neque dum adest, neque dum discedit, cernitur. "Veniat vobis in mentem, nihil esse morti hominis similius somno: at *per* "*somnum* maximè hominis animus divinitatem suam declarat, atque etiam "futura prospicit; quippe qui tunc, utì *quidem* adparet, maximè fit liber. "Quare si hæc ità sunt, quemadmodùm ego existimo, et *si* animus hoc cor-"pus relinquit, reveriti animum meum, quæ vos rogo, præstate: sin hæc "ità non *sunt*, sed animus et manet in corpore, et cum eo interit, *vos* tamen "deos, qui immortales sunt, et intuentur et possunt omnia; quique ordinem "universitatis hunc expertem detrimenti et senectæ, et extra omnem erro-

a Ἐννοήσατε δὲ, &c.] Leunclavius legit ἐνοήσατε, vertitque *animadvertistis*. At lectionem vulgatam, quam MS. Bodl. et cæteri præstant libri, mallem. Similiter *Plato* sub finem *Apolog. Socr.* mortem cum somno comparat: quem et *Cicero* mortis imaginem adpellat. His adde quæ apu l *Cic.* de *Divin.* l. 1. c. 30. exstant.

b Εἰ μὲν οὖν οὕτως, &c.] Non à verbis tantùm Xenophontis, sed etiam à sensu longissimè recedit Ciceroniana loci hujus interpretatio, quæ sic se habet: *Quare si hæc ità sunt, sic me colitote ut deum.* At verò neutiquam consentaneum est, Deorum sibi honores eum optare principem, qui cùm cæteras virtutes, tum pietatem etiam egregiè colebat.

c Ἀτριβῆ καὶ ἀγήρατον] Hæc libri Budensis est lectio, quam in contextum recepit, redditámque expressit Leunclavius. Idem rectè statuit, verba hæc prorsùs esse Xenophontéa, atque adeò sic scripta reperiri ἀπομν. δ'. p. 467. καὶ ὁ τὸν ὅλον κόσμον συντάττων τε καὶ συνέχων, ἐν ᾧ πάντα καλὰ καὶ ἀγαθά ἐστι, καὶ ἀεὶ μὲν χρωμένοις ἀτριβῆ τε καὶ ἀγήρατα παρέχων, θᾶττον δὲ νοήματος ἀναμαρτήτως ὑπηρετοῦντα, &c. Hic περὶ τάξεως τῶν ὅλων ista profert, illic περὶ κόσμου τῶν ὅλων, quæ sunt eadem scilicet. Quamvls autem ex loco adlato satìs, opinor, constet emendationis ratio, tamen vox ἀκήρατος etiam Xenophontéa est, et hoc loco stare potuit; adhibetur autem in *Hierone* medio ferè pro *inviolatus*. Sequenti lineâ habet idem liber ὑπὸ τάχους· quod vix admittendum; cùm *Cicero* quoque, hunc locum interpretans, *pulchritudinem* agnoscat à Xenophonte scriptam, non *celeritatem*. Legitur etiam συγκρατοῦσι pro συνέχουσι. At hoc et Xenophontéum esse, et retinendum ex loco *Memor.* l. 4. modò indicato abundè liquet. Vulgò scribitur, ἀκριβῆ καὶ ἀκήρατον καὶ, &c.

" τον καὶ ἀναμάρτητον, καὶ ὑπὸ κάλλους καὶ μεγέθους ἀδιήγη-
" τον, τούτους φοβούμενοι, μήτε ἀσεβὲς μηδὲν, μηδὲ ἀνόσιον, μήτε
" ποιήσητε, μήτε βουλεύσητε. Μετὰ μέντοι θεοὺς, καὶ ἀνθρώ-
" πων τὸ πᾶν γένος τὸ ἀεὶ ἐπιγιγνόμενον αἰδεῖσθε· οὐ γάρ ἐν
" σκότῳ ὑμᾶς οἱ θεοὶ ἀποκρύπτονται, ἀλλ' ἐμφανῆ πᾶσιν
" ἀνάγκη ἀεὶ ζῆν τὰ ὑμέτερα ἔργα· ἃ ἢν μὲν καθαρὰ καὶ ἔξω
" τῶν ἀδίκων φαίνηται, δυνατοὺς ὑμᾶς ἐν πᾶσιν ἀνθρώποις ἀνα-
" δείξει· εἰ δὲ ἐς ἀλλήλους ἄδικόν τι φρονήσετε, ἐκ πάντων ἀν-
" θρώπων τὸ ἀξιόπιστοι εἶναι ἀποβαλεῖτε. Οὐδεὶς γὰρ ἂν ἔτι
" πιστεῦσαι δύναιτο ὑμῖν, οὐδ' εἰ πάνυ προθυμοῖτο, ἰδὼν ἀδικούμε-
" νον τὸν μάλιστα φιλίᾳ προσήκοντα. Εἰ μὲν οὖν ἐγὼ ὑμᾶς
" ἱκανῶς διδάσκω οἵους χρὴ πρὸς ἀλλήλους εἶναι· [a] εἰ δὲ μὴ, καὶ
" παρὰ τῶν προγεγενημένων μανθάνετε· αὕτη γὰρ ἀρίστη διδασ-
" καλία. Οἱ μὲν γὰρ πολλοὶ διαγεγένηνται φίλοι μὲν γονεῖς
" παισὶ, φίλοι δὲ ἀδελφοῖς· ἤδη δέ τινες τούτων καὶ ἐναντία ἀλ-
" λήλοις ἔπραξαν· ὁποτέροις ἂν οὖν αἰσθάνησθε τὰ πραχθέντα
" συνενεγκόντα, ταῦτα δὴ αἱρούμενοι, ὀρθῶς ἂν βουλεύοισθε.
" Καὶ τούτων μὲν ἴσως ἤδη ἅλις. Τὸ δ' ἐμὸν σῶμα, ὦ παῖδες,
" ὅταν τελευτήσω, μήτε ἐν χρυσῷ θῆτε, μήτε ἐν ἀργύρῳ, μηδὲ
" ἐν ἄλλῳ μηδενί· ἀλλὰ τῇ γῇ ὡς τάχιστα ἀπόδοτε. Τί γὰρ
" τούτου μακαριώτερον, τοῦ γῇ μιχθῆναι, ἣ πάντα μὲν τὰ καλὰ,
" πάντα δὲ τἀγαθὰ φύει τε καὶ τρέφει; Ἐγὼ καὶ ἄλλως φι-

" rem positum, præ pulchritudine atque etiam magnitudine inexplicabilem
" conservant, hos *inquam* veriti nihil impiè, nihil nefariè vel facite vel de-
" liberate. Post deos universam etiam hominum nationem, quæ perpetuâ
" successione continuatur, reveremini: nam dii vos caligine *quâdam* non
" tegunt, sed actiones vestras semper omnibus ante oculos versari necesse
" est; quæ si puræ secretæque ab injustitiâ adparuerint, potentes vos inter
" homines universos reddent: sin aliquid alter in alterum injuriæ cogitave-
" ritis, apud omnes homines fidem amittetis. Nam nemo poterit ampliùs
" vobis credere, tametsi magnoperè cupiat, si videat adfici illum injuriâ.
" qui sit amicitiæ jure conjunctissimus. Itaque si satis ego vos doceo, qua-
" les vosmet erga vos præbere debeatis, *rectè est:* sin autem, ab iis etiam
" discite, qui ante nos exstitêre; hæc enim optima est doctrinæ ratio. Nam
" multi parentes erga liberos, multi erga fratres in amore constantes man-
" sêre: nonnulli etiam his contraria inter se mutuò designârunt: utris igitur
" animadverteritis ea, quæ fecerunt, profuisse; illorum si facta prætuleritis
" alteris, rectè *vobis* consulueritis. Ac de his quidem jam fortasse satis.
" Cæterùm corpus meum, filii, cùm diem supremum obiero, nec in auro
" condite, nec in argento, nec ullâ in re aliâ, sed terræ quamprimùm red-
" dite. Quid enim beatius, quàm terrâ commisceri, quæ omnia præclara,
" bona omnia profert ac nutrit? Ego cùm aliàs hominum studiosus fui, tum

a Εἰ δὲ μὴ, &c.] Vide dicta, p. 384. not. a.

" λάνθρωπος ἐγενόμην, καὶ νῦν ἡδέως ἂν μοι δοκῶ κοινωνῆσαι " τοῦ εὐεργετοῦντος ἀνθρώπους. Ἀλλὰ γὰρ ἤδη, ἔφη, ἐκλιπεῖν " μοι φαίνεται ἡ ψυχὴ ὅθενπερ, ὡς ἔοικε, πᾶσιν ἄρχεται [a] ἀπο- " λιποῦσα. Εἴ τις οὖν ὑμῶν ἢ δεξιᾶς βούλεται τῆς ἐμῆς ἅψασ- " θαι, ἢ ὄμμα τοὐμὸν ζῶντος ἔτι προσιδεῖν ἐθέλει, προσίτω· ὅταν δ' " ἐγὼ ἐγκαλύψωμαι, αἰτοῦμαι ὑμᾶς, ὦ παῖδες, μηδεὶς ἔτ' ἀν- " θρώπων τοὐμὸν σῶμα ἰδέτω μηδ' αὐτοὶ ὑμεῖς. Πέρσας μέντοι " πάντας καὶ τοὺς συμμάχους ἐπὶ τὸ μνῆμα τοὐμὸν παρακαλεῖτε, " συνησθησομένους ἐμοὶ ὅτι ἐν τῷ ἀσφαλεῖ ἤδη ἔσομαι, ὡς μηδὲν " ἂν ἔτι κακὸν παθεῖν, μήτε ἢν μετὰ τοῦ θείου γένωμαι, μήτε " [b] ἢν μηδὲν ἔτι ὦ· ὁπόσοι δ' ἂν ἔλθωσι, τούτους εὖ ποιήσαντες " ὁπόσα ἐπ' ἀνδρὶ εὐδαίμονι νομίζεται, ἀποπέμπετε. Καὶ τοῦ- " το, ἔφη, μέμνησθέ μου τελευταῖον, Τοὺς φίλους εὐεργετοῦντες, " καὶ τοὺς ἐχθροὺς δυνήσεσθε κολάζειν. Καὶ χαίρετε, ὦ φίλοι " παῖδες, καὶ τῇ μητρὶ ἀπαγγέλλετε ὡς παρ' ἐμοῦ· καὶ πάντες " δὲ οἱ παρόντες καὶ οἱ ἀπόντες φίλοι χαίρετε." Ταῦτ' εἰπὼν καὶ πάντας δεξιωσάμενος, συνεκαλύψατο, καὶ οὕτως ἐτελεύτησεν.

